Ἐθν. Βιβλ. Ἑλλ. 56439

# ΓΝΩΣΤΙΚΗΣ

ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΑ

## ΚΕΦΑΛΑΙΟΝ Α΄.

### Περὶ τῶν τοῦ ἀνθρώπου γνώσεων ἐν γένει.

§ Α΄.

Ὅταν φέρῃ τις κατὰ νοῦν τὰς διαφόρους τέχνας καὶ ἐπιστήμας, ὅσας τὸ ἀνθρώπινον πνεῦμα κατὰ μικρὸν ἐπενόησεν, ὅταν κατὰ πρῶτον εἰς τὸν ἀριθμὸν αὐτῶν καὶ τὴν ποικιλίαν ἀποβλέψῃ, ἐκπλήττεται, μηδεμίαν μεταξὺ αὐτῶν βλέπων συνάφειαν, ἢ ἀναφοράν· ὅταν δὲ μετὰ προσοχῆς τὰς τοιαύτας τοῦ ἀνθρώπου παρατηρήσῃ γνώσεις, καὶ τὰς διαφόρους αὐτῶν ἐρευνήσῃ ἀρχὰς, τότε ἀναφοράς τινας καὶ σχέσεις μεταξὺ αὐτῶν θεωρουμένας ἀνακαλύπτει, δι᾽ ὧν ἀλλήλαις συνδέονται· τῶν τοιούτων λοιπὸν ἀναφορῶν ἡ θεωρία, εἴτε ἡ τῶν ἀνθρωπίνων γνώσεων γενικὴ πραγματεία, ***Γνωστικὴ*** προσηγορεύθη.

§ Β΄.

Τὰ περὶ τὸν ἄνθρωπον ὄντα, ἀφοῦ πρῶτον τὰς χρείας θεραπεύσωσιν, εἰς ὅσας ἡ φύσις αὐτῶν καθυπέβαλε, τῆς περιεργείας ἔπειτα γίνονται ὑπόθεσις· ὅσα δὲ τὸ κατ᾽ ἀρχὰς κατέπληττον, συντείνουσι τελευταῖον εἰς θεωρίαν τοῦ ἰδίου πνεύματος· [illegible]ονὴ τῶν ὄντων, ὁ ἀριθμός, καὶ αἱ κινήσεις τῶν φωτοβόλων σωμάτων, διεγείρουσι τὸν τοῦ εἰδέναι αὐτῶν ἔρωτα, [illegible]πρυνόμενος, καὶ τοὺς νόμους καθ᾽ οὓς, καὶ τοὺς λόγους [illegible] περὶ αὐτῶν συμβαίνοντα φαινόμενα ἐρευνῶν, ἕως καὶ [illegible] ὑπέρτατον ἀνάγεται ὄν· καὶ οὕτως ὁ ἄνθρωπος τὰς [illegible]νοεῖ γνώσεις, ὧν τὸ τέλος ἡ αὐτοῦ ἐστι βελτίωσις· ἡ [illegible]ωρία καὶ ἀνάπτυξις, τῆς παρούσης πραγματείας ὁ

## § Γ'.

Ἐπειδὴ καὶ ὁ ἄνθρωπος κατ' ἀρχὰς τὰς διαφόρους αὐτοῦ χρεία
θεραπεύειν ἀναγκάζεται, δῆλον ὅτι, καὶ τὰς διαφόρους ἰδιότητα
εἴτε δυνάμεις τῶν περὶ αὐτὸν ὄντων τὰς εἰς τὴν τοιαύτην συντ.
νούσας θεραπείαν παρατηρεῖν κατεπείγεται· καὶ ἐπομένως, τὰς μὲ
ὁμοιότητά τινα ἐχούσας εἰς ἓν συνάπτειν καὶ θεωρεῖν, τὰς δὲ δι
φόρως αὐτὸν διατιθείσας, κατὰ μέρος ἐρευνᾶν· οὕτω δὲ τὰ τοιαῦτ
ὄντα θεωρῶν, καὶ τὰς παρατηρήσεις τῶν πρὸ αὐτοῦ, ταῖς ἑαυτ
ἐπισυνάπτων, τὰς ἀρχὰς γνώσεών τινων ὁμοιότητα ἐχουσῶν συν
στήσατο. Ἀφοῦ δὲ οὕτω τὴν ἑαυτοῦ ἐπλούτισε μνήμην, τὰς
αὐτοῦ παρατηρηθείσας ἰδιότητας μιμεῖσθαι ἤρξατο· τὰς δὲ μιμήσ
αὐτοῦ ταῖς τῶν ἄλλων συνδέων, ἄλλας τινὰς ὁμοίας γνώσεις συ
κρότησεν, ὑπὸ τῆς αὐτῆς ἀνάγκης τελευταῖον, καὶ ὑπὸ τοῦ ἐν αὐτ
διεγειρομένου ἔρωτος τοῦ εἰδέναι κατεπειγόμενος, καὶ τὰς αἰτί
τῶν παρ' αὐτοῦ παρατηρηθέντων ἠρεύνησε· τὰς ἑαυτοῦ δὲ παρ
τηρήσεις ταῖς τῶν λοιπῶν προστεθείς, ἄλλας τινὰς γνώσεις ἀνα
φορὰν ἐχούσας συνέδεσε· καὶ οὕτως αἱ τοῦ ἀνθρώπου γνώσεις κατ
ἀρχάς, ἁπλαῖ τινες καὶ μεμονωμέναι παρατηρήσεις οὖσαι, κατ
μικρὸν εἰς τοσαύτας, καὶ τοιαύτας τέχνας, καὶ ἐπιστήμας πρ
χθησαν.

## § Δ'.

Ἐπειδὴ καὶ ὁ ἄνθρωπος τὰς τοιαύτας γνώσεις διὰ τῶν ψυχικ
αὐτοῦ δυνάμεων θεωρῶν διαγινώσκει· τουτέστιν ἐπειδὴ καὶ αἱ γν
σεις οὐχὶ ἀπολύτως, ἀλλ' ὡς πρὸς τὸν ἄνθρωπον ἀναφερόμεναι ἐξ
τάζονται, δῆλον, ὅτι ὑπόθεσις ἐν γένει τῆς παρούσης πραγματεί
ἐστιν ὁ ἄνθρωπος· πῶς δηλ. τὰς γνώσεις τῶν περὶ αὐτὸν λαμβά
ὄντων, καὶ τίνα εἰσὶ τὰ ὑπ' αὐτοῦ γινωσκόμενα· ὅθεν καὶ αἱ γν
σεις τούτου, εἰς γνώσεις ἐν γένει τοῦ γινώσκοντος, εἴτε τῆς ψ
αὐτοῦ, καὶ εἰς γνώσεις τῶν ὑπ' αὐτοῦ γινωσκομένων διαιρεθήσ
καὶ ἐπειδὴ ὁ ἄνθρωπος τὰς διαφόρους συναπαρτίζων τέχνας
στήμας, ἢ συνάπτει μόνον τὰ ὅμοια φαινόμενα, ἢ μιμεῖ
ὡς καὶ τὰς αἰτίας αὐτῶν διερευνᾶν, ἕπεται, ὅτι καὶ α
γινωσκόμενα ἀναφερόμεναι τοῦ ἀνθρώπου γνώσεις, ἢ ἱστο
δι' ὧν ὁ τεχνίτης ἀναφαίνεται, ἢ τελευταῖον λογικαί, ἢ
νικαί, δι' ὧν ὁ σοφός, ἢ φιλόσοφος συναπαρτίζεται, κ
τοιούτων λοιπὸν γνώσεων, μερικώτερον πραγματευθήσ
γενικώτερον τὰ περὶ αὐτὰς ἀναπτυχθῶσι θεωρούμενα.



## § Ε'.

Πρῶτον λοιπὸν τὰ περὶ τὸ γινῶσκον παρατηροῦντες συμβαίνοντα, μανθάνομεν, ὅτι αἰσθάνεσθαι καὶ βούλεσθαι, τὰ γενικώτερα εἰσὶ περὶ αὐτὸ φαινόμενα· καὶ κατὰ μὲν τὸ πρῶτον, τὰ νεῦρα ὑπὸ τῶν ἐξωτερικῶν, καὶ ἐσωτερικῶν προσβολῶν διεγειρόμενα, συνδιεγείρουσι καὶ τὴν γινώσκουσαν δύναμιν· κατὰ δὲ τὸ δεύτερον, εἰς αὐτὴν ὑπηρετοῦντες τοὺς μύωνας καὶ τὰ λοιπὰ διατιθέασι σώματα· ὥστε τὰ μὲν αἰσθήματα, ἐκ τῆς εἰς τὰ ἡμέτερα ὄργανα ἐνεργείας τῶν σωμάτων ἐξήρτηνται· ἡ δὲ βούλησις, εἰς τὰ ἡμέτερα ὄργανα, καὶ εἰς τὰ λοιπὰ ἐνεργεῖ σώματα· ἐπομένως δέ, ἡ μὲν κατὰ τὸ πρῶτον φαινόμενον ἐν τῷ ἀνθρωπίνῳ σώματι παρατηρουμένη κίνησις, ἐκ μηχανικῶν τινων παράγεται προσβολῶν· ἡ δὲ ἐν τῷ δευτέρῳ ἔκ τινος προξενεῖται δυνάμεως, ἥτις τοῦ σώματος διόλου ἐστὶ διάφορος.

## § ς'.

Διὰ τοιούτων παρατηρήσεων μανθάνομεν μερικώτερον, ὅτι ὁποιουδήποτε αἰσθήματος ἐν ἡμῖν διαγειρουμένου, καὶ μία τις ἰδέα προσλαμβάνεται· δύο δὲ προσγεγονότων αἰσθημάτων, καὶ δύο τινὰς ἰδέας προσκτώμεθα· δύο δὲ ἀναλαμβανομένων ἰδεῶν, μία τις σύγκρισις μεταξὺ αὐτῶν γίνεται· καὶ ἐπομένως μία τις ἀναφορὰ μεταξὺ αὐτῶν γινώσκεται· ταύτης δὲ πάλιν γινωσκομένης, κρίσις ἢ ἀπόφανσις, εἴτε γνῶσις ἐκτελεῖται. Ἐπειδὴ δέ, ὁσάκις γινώσκεταί τι συνδιεγείρεται καὶ εἰς ἡμᾶς εὐχαρίστησις, εἴτε ἡδονή, ἢ δυσαρέστησις, εἴτε πόνος, δῆλον, ὅτι προσγίνεται ἐνταυτῷ χρεία τις, τοῦ προσοικειοῦσθαι μὲν τὴν πρώτην, ἀποβάλλειν δὲ τὴν δευτέραν· ὅθεν, καὶ ὁσάκις γινώσκεται ἡ ἀναφορά, ἣν τὰ αἰσθήματα ἔχουσι πρὸς τὴν ...ατοχὴν τῆς εὐχαριστήσεως, ἢ πρὸς τὴν ἀποβολὴν τῆς δυσαρεστή...ως, συνδιεγείρεται καὶ ἔφεσίς τις ἐν ἡμῖν, ἥτις ἡ ἀρχή ἐστι πάσης ...θυμίας καὶ πάθους· καὶ τοιαῦτά εἰσι τὰ περὶ τὸ γινῶσκον φαινό... ὅπερ τὸ ἀντικείμενον κυρίως ἐστὶ τῆς λεγομένης ἰδεολογίας· ...ρὶ ὧν κατωτέρω, ὅσον εἰς τὴν παροῦσαν ἀνήκει πραγματείαν ...εται.

## § Ζ'.

Ἐὰν ...τερον· ἐὰν τὰς ὡς πρὸς τὰ γινωσκόμενα ἀναφερομένας ...ἡμῶν, γενικώτερον παρατηρήσωμεν, μανθάνομεν, ὅτι αἱ μὲν ...κληθεῖσαι, περὶ τὸν φυσικὸν καὶ τὸν τοῦ ἀνθρώπυ ἐνα... κόσμον, τὰ διάφορα τούτου μέρη κατ' ἄλλην τινὰ ἐξι-

στοροῦσαι τάξιν· αἱ δὲ μιμητικαὶ περὶ αὐτὰς τὰς τέχνας περιστρέφονται, ἐκ τῆς περὶ τὴν φύσιν μιμήσεως λαβοῦσαι κατ' ἀρχήν· καθότι αἱ διάφοροι ταύτης καλλοναί, καὶ αἱ τοῦ ἀνθρώπου χρεῖαι, εἰς μίμησιν τοῦτον διαγείρουσαι, αἰτία τῶν τοιούτων ἀποκαθίστανται γνώσεων· οὕτω φέρ' εἰπεῖν· τὰ ὑψηλὰ ὄρη, τὸ ἄμετρον ὕψος τῶν οὐρανῶν, τὸ μέγα τῶν θαλασσῶν βάθος, αἱ φοβεραὶ τῶν ποταμῶν ὁρμαί, κτλ. διεγείρουσιν εἰς τὸν ἄνθρωπον τὰς ἰδέας τοῦ ὕψους, τὰ μεγάλα καὶ τρομερὰ πάθη, ἐξ ὧν τοσαῦται ὑψηλαὶ μιμητικαὶ πηγάζουσι γνώσεις, τοῦ ὑψηλοῦ ἢ ὑπερόχου καλοῦ λεγόμεναι.

## § Η΄.

Αἱ κοιλάδες πάλιν, τὰ δάση, ἡ ἀτάραχος ἐρημία, οἱ ῥύακες, τοῦ Ἡλίου Ἀνατολὴ καὶ Δύσις, ἡ θεωρία τῆς Σελήνης καὶ τῶν Ἀστέρων, ἡ γαλήνιος νύξ, φέρουσιν εἰς τὸν ἄνθρωπον τὰς ἱλαρὰς ἐκείνας ἰδέας, ἐξ ὧν παράγονται τοσαῦτα μέτρια πάθη, τοσαῦται γνώσεις τοῦ ἱλαροῦ λεγομένου καλοῦ.

## § Θ΄.

Οἱ διάφοροι τελευταῖον λόφοι, αἱ χλοηφόροι πεδιάδες, τὰ ποικιλόχροα ἄνθη, τὸ ἡδὺ τῶν πτηνῶν ᾆσμα, ἡ ἡδεῖα τῆς αὔρας πνοή, ἡ γελῶσα ἐν γένει φύσις, διεγείρουσι εἰς τὸν ἄνθρωπον τὰς ἰδέας ἐκείνας τοῦ χαρίεντος καλοῦ, τὰ χαρίεντα ἐκεῖνα πάθη, ἐξ ὧν λαμβάνουσι ἀρχήν, τοσαῦται εὐφροσύνης γέμουσαι γνώσεις· οὕτω δὲ ὁ ἄνθρωπος, τὰς ἰδέας λαμβάνων τοῦ ὑψηλοῦ λεγομένου καλοῦ, τοῦ ἱλαροῦ, τοῦ χαρίεντος, καὶ τὰς θαυμασίας τῆς φύσεως καλλονὰς μιμούμενος, τὰς βάσεις καταβάλλει τῶν ἐλευθέρων λεγομένων τεχνῶν, ἢ τῶν καλλιτεχνῶν ἐν γένει, δι' ὧν τὰ ἀριστουργήματα τῆς ἀρχαιότητος παρήχθησαν· τοιαύτας δέ τινας μιμήσεις ἐκτελῶν, καὶ τὰς ἀρχὰς τῶν λεγομένων βαναύσων ἐφευρίσκει τεχνῶν· καὶ τοιαύτην ἔχουσιν ἀρχὴν αἱ καλούμεναι μιμητικαὶ γνώσεις, περὶ ὧν μερικώτερον ἐν τοῖς ἑξῆς ῥηθήσεται.

## § Ι΄.

Ἐνῷ δὲ ὁ ἄνθρωπος, οὕτω πως ὑπὸ τῶν καλλονῶν διατῆς φύσεως, καὶ ἔρως τις ἐν αὐτῷ διεγείρεται, οὐ μόνον τοῦ σθαι, ἀλλὰ καὶ τοῦ εἰδέναι μετὰ πλείονος ἀκριβείας τὰ τοιαῦτα αὐτὸν ὄντα, δι' ὧν οὕτω πως συμμεταβάλλεται, καὶ ἰδού πως ἐκ μιμήσεως, εἰς τὴν λογικὴν μεταβαίνει τῶν φαινομένων ἔρευναν· δέ, μετὰ πλείονος περιεργείας ἑαυτόν, εἴτε τὸν ἄνθρωπον, τ



ἐν γένει, τὸν Θεὸν ἐξετάζων, τὰς ἀρχὰς καταβάλλει τῶν λογικῶν ἐκείνων γνώσεων, ἢ τῶν ἐπιστημῶν.

## § ΙΑ΄.

Καὶ τὸν μὲν ἄνθρωπον παρατηρῶν, δύο ἀνακαλύπτει ἐν αὐτῷ φαινομένων εἴδη, διόλου ἀλλήλων διαφέροντα· τὰ μὲν δηλ. ἐκ τῶν αἰσθητῶν ὀργάνων αὐτοῦ ἐξαρτώμενα, τὰ δὲ ἔκ τινος ἁπλουστάτης ἀρχῆς οἴκοθεν ἐνεργούσης παραγόμενα· ὅθεν καὶ δύο ἐν αὐτῷ διακρίνουν οὐσίας, ἐξ ὧν ὁ ἄνθρωπος σύγκειται.

## § ΙΒ΄.

Τὰ δὲ περὶ αὐτὸν αἰσθητὰ ὄντα ἐρευνῶν, πρῶτον μὲν βεβαιοῦται, ὅτι ἔξωθεν αὐτοῦ ὑπάρχουσιν, ὡς ταῖς αὐτοῦ ἀνθιστάμενα κινήσεσι· δεύτερον δέ, τὰς αὐτῶν ἰδιότητας ἐπ' αὐτῶν τούτων θεωρῶν, τὰς φυσικὰς καλουμένας ἐπιστήμας, εἴτε τὴν φυσικὴν ἐν γένει συνίστησι· τὴν ἔκτασιν δὲ αὐτῶν κατὰ μέρος ἐρευνῶν, ἢ τὸ ποσόν, τὰς μαθηματικὰς συγκροτεῖ γνώσεις· ἐκ δὲ τῆς τῶν ὄντων ἁρμονίας ὁδηγούμενος, μανθάνει, ὅτι ταῦτα εἰσὶν ἐνδεχόμενα, ὅτι εἰσὶν ἀποτελέσματα αἰτίας τινός, ἥτις οὕτω πως καὶ οὐχὶ ἄλλως, εἰ καὶ δυνατὸν ἦν, τὰ τοιαῦτα παρήγαγε.

## § ΙΓ΄.

Καὶ ἰδού πως εἰς τὴν περὶ Θεοῦ ἀναβαίνει θεωρίαν, εἰς τὴν φυσικὴν λεγομένην Θεολογίαν, ἐν ᾗ τὰ Θεῖα ἐξετάζει προσόντα, τοῦ ἀναγκαίου ἐκείνου ὑφίστου ὄντος.

## § ΙΔ΄.

Βλέπει ἔπειτα τὸ ἠθικὸν κακόν, ὡς ἄλλο φαινόμενον, ἐξετάζων δὲ τὴν τούτου ἀρχήν, εὑρίσκει αὐτὴν εἰς τὴν κατάχρησιν τῆς ἐλευθερίας, καθ' ἣν οἱ κτισθέντες ἐπλουτίσθησαν νόες.

## § ΙΕ΄.

Ἐξετάζων δὲ καὶ τὰς ἠθικὰς τοῦ ἀνθρώπου ἰδιότητας, τὰς ὡς τοὺς λοιποὺς ἀνθρώπους ἀναφοράς, μανθάνει ὅτι ὁ ἄνθρωπος θη κοινωνικός· ἐκ ταύτης δὲ τῆς ἐξετάσεως ἥ τε οἰκονομία λε- παράγεται, ἡ πολιτική, ἡ νομοθεσία, ἡ ἠθικὴ ἐν γένει· παἘὰν ρῶν δὲ περιεργότερον τὰς διαθέσεις, καὶ κλίσεις τοῦ ἀνθρώβάλλω θάνει, ὅτι κλίνει εἰς τὸ ἄπειρον, ὅτι ἡ ἰδία αἰωνιότης εἰς αὐτόν, μὴ φαίνεται χρόνου· ἄπειρον τοῦ σύμπαντος μέγεθος, ὡς συστήματος· καταλαμβάνει λοιπόν, ὅτι ὁ ἄνθρωπος ἐπλάσθη

διὰ τὴν ἀϊδιότητα, καὶ ὅτι ἡ παροῦσα κοινωνία, μέσον τι εἰς ὑψηλότερον τέλος ἀποβλέπουσά ἐστιν· ἀλλὰ τίς ὁδηγήσει τὸν ἄνθρωπον εἰς τὸ τέλος τοῦτο; τίς παρεισάξει αὐτὸν εἰς τὴν ἀϊδιότητα; τίς οἶδε τὰ μέλλοντα; καὶ ἑπομένως τὰ ἐπιτήδεια μέσα, τὰ εἰς αὐτὸ ὁδηγοῦντα; καὶ ἐνταῦθα μανθάνει τὴν ἀνάγκην, Θείας τινὸς ἀποκαλύψεως, εἰς τὴν αἰώνιον ἐκείνην ὁδηγούσης κοινωνίαν.

## § ΙϚʹ.

Καὶ ἰδοὺ ἡ σειρὰ τῶν ἀνθρωπίνων γνώσεων, ἰδοὺ πῶς ἀπὸ τῶν μερικῶν ἐκείνων παρατηρήσεων, αἱ τοσαῦται τοῦ ἀνθρώπου παράγονται γνώσεις, αἵτινες εἰς γνώσεις τοῦ γινώσκοντος, καὶ τοῦ γινωσκομένου ἀναφέρονται· αὗται δὲ πάλιν, εἰς ἱστορικάς, τεχνικὰς καὶ ἐπιστημονικὰς διῃρέθησαν· περὶ ὧν μερικώτερον ἤδη διαληφθήσεται.

---

# ΚΕΦΑΛΑΙΟΝ Βʹ.

## Περὶ τῶν γνώσεων τῶν περὶ τὸ γινῶσκον θεωρουμένων.

## § ΙΖʹ.

Γνώσεις τοῦ γινώσκοντος ὠνομάσαμεν, ὅσας ὁ ἄνθρωπος λαμβάνει, τὰς ἑαυτοῦ περὶ τὸ γινῶσκον ἐξετάζων ἰδιότητας, εἴτε τὰς δυνάμεις ἐρευνῶν, δι' ὧν τὰ περὶ ἑαυτὸν θεωρῶν διαγινώσκει ὄντα· περὶ τῶν τοιούτων λοιπὸν γνωστικῶν τοῦ ἀνθρώπου δυνάμεων, ἐνταῦθα μερικώτερον διαληφθήσεται.

## § ΙΗʹ.

Καὶ πρῶτον· ὡς ἐκ τῶν ἀνατομικῶν ἀνακαλύψεων, μανθάνο ὅτι μέρη τινὰ τοῦ ἀνθρωπίνου ἐγκεφάλου, διαφόρως ἐκ τοῦ νίου μετὰ τῶν περὶ αὐτὰ ὑμένων ἐξερχόμενα, καὶ διαφόρως εἰ ἐσωτερικὴν αὐτοῦ, καὶ ἐξωτερικὴν ἐπιφάνειαν διακλαδιζόμενα φορα τοῦ σώματος συντιθέασι μέρη, ἅπερ τὰς τῶν σωμάτων βολὰς εἰσδεχόμενα, εἰς δὲ τὴν ψυχὴν αὐτὰς μετοχετεύοντα, αἰ τήρια ὄργανα προσηγορεύθησαν, ὡς δι' αὐτῶν τῆς ψυχῆς δι μένης ἢ αἰσθανομένης· ταῦτα δέ εἰσι τὰ τῆς ὁράσεως, τῆς τῆς ὀσφρήσεως, τῆς γεύσεως καὶ τῆς ἁφῆς.



## § ΙΘʹ.

Δεύτερον· ἐὰν τὸν τρόπον παρατηρήσωμεν, καθ' ὃν αἱ τῶν σωμάτων εἰς τὰ τοιαῦτα ὄργανα γίνονται προσβολαί, καταλαμβάνομεν, ὅτι αὗται διὰ τῆς ἁφῆς κυρίως ἐνεργοῦνται· καὶ ἑπομένως μανθάνομεν, ὅτι τὸ αἰσθητήριον τοῦ ἀνθρώπου ὄργανον, ἓν μόνον κυρίως ἐστίν, ἡ ἁφὴ δηλ. ἥτις διάφορος εἰς τὰ διάφορα τοῦ ἀνθρωπίνου σώματος ἀποκαθίσταται μέρη, διὰ τὴν διάφορον ἴσως γύμνωσιν ἢ ἔκτασιν τῶν αἰσθητηρίων νεύρων· καθότι, εἰς μὲν τὸ γευστικὸν καλούμενον ὄργανον, φέρ' εἰπεῖν, αἱ ἐπὶ τῆς ἐπιδερμίδος κείμεναι νευρικαὶ θηλαί, ἧττον διὰ τῶν ὑμένων περιειλημμέναι ὑπάρχουσιν, ἢ αἱ τῆς λεγομένης ἁφῆς· εἰς δὲ τὸ ὀσφραντικὸν ὀλιγώτερον ἔτι, εἰς τὸ ἀκουστικὸν ἧττον ἢ εἰς τὸ ὀσφραντικόν, καὶ εἰς τὰ τῆς ὁράσεως τελευταῖον γυμνὰ σχεδὸν τὰ νεῦρα παρατηροῦνται.

## § Κʹ.

Ὅταν λοιπὸν εἰς τὰ τοιαῦτα ὄργανα μεταβολή τις, ὡς ἐκ τῆς τῶν σωμάτων ἐνεργείας συμβῇ, εἴτε διάφορος τοῦ εἶναι αὐτῶν τρόπος ἐκτελεσθῇ, τότε τῆς ψυχῆς διὰ τῆς τοιαύτης μεταβολῆς συνδιατιθεμένης, εἴτε διάφορον καὶ αὐτῆς τοῦ εἶναι τρόπον λαμβανούσης, αἰσθάνεσθαι καλοῦμεν τὴν τοιαύτην τοῦ γινώσκοντος διάθεσιν· ὥστε αἰσθάνεσθαι κυρίως ἐστί, διάφορός τις τοῦ εἶναι τρόπος τοῦ γινώσκοντος, ὡς ἐκ τῶν προσβολῶν τῶν σωμάτων διεγειρόμενος.

## § ΚΑʹ.

Ἀλλὰ πῶς αἱ τοιαῦται γίνονται προσβολαί; ὅτι μὲν τὰ σώματα ἡμᾶς διατιθέασι, πάντες οἴδαμεν· ὅτι δὲ τὰ φαινόμενα τούτων ὑλικὰ μόρια εἰς τὰ ἡμέτερα νεῦρα οὐδόλως προσεγγίζουσιν, ὡς ἐκ μακρᾶς παρατηρήσεως μανθάνομεν· ὅτι δὲ πᾶν τὸ ἐνεργοῦν παρόν ἐστιν, τῷ ἐνεργεῖ τόπῳ, πάντες πεπείσμεθα· καὶ ἐπειδὴ τὰ τῶν σωμάτων ...οια εἰς τὰ αἰσθητήρια ἐνεργοῦντα, καὶ μηδόλως αὐτοῖς προσεγτῶν ...τα ἀπὸ τοῦ τόπου, καθ' ὃν ἐνεργοῦσιν ἀπόντα εἰσίν, ἀνάγκη τα ...να ῥευστόν τι δοθῇ, τὰ φαινόμενα τῶν σωμάτων περικυκλοῦν τῶν ... τὰς προσβολὰς αὐτῶν μετοχετεῦον.

ται· εἰ... λαμβά... τῶν ... στικ...

## § ΚΒʹ.

Ἐὰν ...οῦτον λοιπὸν περὶ τὰ σωματικὰ μόρια ῥευστόν, εἰς τὸ ...νευρικὰς θηλὰς προσβάλλον, μεταβολήν τινα, εἴτε κίνησιν ...ιεῖ, ἥτις διὰ τῶν νεύρων εἰς τὸν ἐγκέφαλον διαδοθεῖσα συνδιατίθησιν, εἴτε αἰσθάνεσθαι αὐτὴν ποιεῖ· ὅτι δὲ τὸ

πρᾶγμα οὕτως ἔχει, διὰ διαφόρων παρατηρήσεων, δῆλον γίνεται· καθότι ὅταν τὰ εἰς ὄργανόν τι ἀνήκοντα νεῦρα, ἢ δεθῶσιν, ἢ βλαφθῶσι, καὶ τὰ δι' αὐτῶν ἐκτελούμενα, παραβλάπτονται αἰσθήματα.

## § ΚΓ'.

Ἐκ τούτων βεβαιούμεθα, ὅτι τὰ μηχανικὰ ὄργανα, δι' ὧν αἱ τῶν σωμάτων προσβολαὶ εἰς τὸν ἐγκέφαλον διαδίδονται· δι' ὧν ἡ ψυχὴ αἰσθάνεται, εἴτε δι' ὧν τὰς ἰδέας λαμβάνει, τῶν περὶ αὐτὴν ὄντων τὰ νεῦρά εἰσιν· ἀλλὰ ποῖά τινα εἰς αὐτὴν παρατηροῦνται φαινόμενα, ἐνῷ τρόπος τις τοῦ εἶναι διάφορος εἰς αὐτὴν προξενεῖται, εἴτε ἐνῷ ἀπὸ τοῦ μὴ ἔχειν ἰδέας, εἰς τὸ ἔχειν μεταβαίνει;

## § ΚΔ'.

Ἐὰν ὑποθῶμεν, ὅτι διάφοροι ἐν ταὐτῷ εἰς τὸν ἄνθρωπον, καὶ νέαι γίνονται προσβολαί· καταλαμβάνομεν, ὅτι κατ' ἀρχὰς, οὐδεμίαν κυρίως ἕξει τῶν προσβαλλόντων σωμάτων ἰδέαν, εἴτε ἔννοιαν· θάμβος δέ τι μόνον ἢ ἔκπληξις ἐν αὐτῷ διεγερθήσεται εἰς περιέργειαν παροτρύνουσα· εἰ δὲ καὶ μεταξὺ τῶν εἰς τὸν ἄνθρωπον προσβαλλόντων, σῶμά τι εὑρίσκεται, ἰσχυρῶς ὄργανόν τι διεγεῖρον, εἴτε ἰσχυρῶς τὸ αἰσθητήριον αὐτοῦ κινοῦν νεῦρον, καὶ ἐπομένως εὐχαρίστησίν τινα ἢ ἡδονὴν τῷ ἀνθρώπῳ προξενοῦν, ἢ δυσαρέστησιν αὐτῷ ἢ πόνον ἐμποιοῦν, δῆλον ὅτι μᾶλλον ὑπὸ τούτου, ἢ τῶν λοιπῶν διατεθήσεται σωμάτων, καὶ ἐπομένως προσέχειν ἀναγκασθήσεται· διὰ τῆς προσοχῆς λοιπὸν, εἴτε τῆς ἰσχυροτέρας αἰσθήσεως ἐξ ἰσχυρῶν προσβολῶν διεγειρομένης, αἴσθημά τι διακεκριμένον, τὴν ἰδέαν δηλ. ἢ τὴν ἔννοιαν τοῦ προσβάλλοντος ὁ ἄνθρωπος λαμβάνει· ὥστε ἰδέαν τινὸς λαβεῖν, διακεκριμένως αὐτοῦ αἰσθέσθαι ἐστί.

## § ΚΕ'.

Εἰ δὲ καὶ ἀντὶ ἑνὸς, δύο, ἢ πολλὰ ὑπάρχουσι τὰ ἰσχυρῶς ε
τὰ αἰσθητήρια προσβάλλοντα, εἴτε δύο, ἢ πολλὰ τὰ ἰσχυρῶς αὐ
συγκινοῦντα, καὶ τὴν ἰσχυροτέραν αἴσθησιν, εἴτε τὴν προσοχὴν
γείροντα, εἴτε ἑνὸς τινος τούτων τὴν ψυχὴν διατιθέντος, εἴτε
τινος νεύρου κινουμένου, καὶ μίαν τινὰ ἰδέαν διεγείροντος,
λοιπὰ νεῦρα, κατὰ τὸ μᾶλλον καὶ ἧττον συγκινηθήσονται·
λοιπὰς προσβολὰς, εἴτε ἰδέας κατὰ τὸ μᾶλλον καὶ ἧττον σ
ροῦσι· καὶ ἰδοὺ ἡ ἀρχὴ πάσης ἀναμνήσεως, μνήμης δηλ. κα
τασίας, εἴτε τῶν αἰσθημάτων ἐκείνων, ἅπερ καὶ διὰ μόνης
ἐσωτερικῶν ἄκρων τῶν νεύρων κινήσεως, ἐν τῷ ἀνθρώπῳ
ρονται· ὅτι δὲ αἱ τοιαῦται ἀναμνήσεις ἐκ τῆς τοιαύτη



ται κινήσεως, δῆλον ἐκ μικρᾶς γίνεται παρατηρήσεως· καθότι τοῦ ἐγκεφάλου βλαφθέντος, καὶ αὗται συνδιαφθείρονται.

## § ΚϚ'.

Ἐκ τῆς αὐτῆς καὶ τῶν νεύρων συγκινήσεως προῆλθεν, ὡς φαίνεται, καὶ ἡ τῶν ἰδεῶν μετά τινων σημείων προσοικείωσις· οὕτω φέρ' εἰπεῖν· ἐὰν ὁσάκις βλέπω τὸ ὕδωρ, ἀκούω καὶ τῆς φωνῆς ὕδωρ· τουτέστιν ἐὰν, ὁσάκις κινούμενον τὸ ὀπτικόν μου νεῦρον ὑπὸ τῆς τοῦ ὕδατος παρουσίας, διεγείρει τὴν ἰδέαν αὐτοῦ εἰς τὴν ψυχήν μου, προσπίπτει καὶ ἡ φωνὴ ὕδωρ εἰς τὴν ἀκοήν μου, συνδιεγείρουσα τὴν προσοχήν μου, δῆλον, ὅτι μετὰ ταῦτα, θατέρου νεύρου κινηθέντος, εἴτε θατέρου αἰσθήματος διεγερθέντος, καὶ τὸ ἕτερον συνδιεγερθήσεται· καὶ ἐπομένως ἀκούων τῆς λέξεως ὕδωρ, καὶ τῆς ἰδέας, εἴτε τῆς ἐννοίας αὐτοῦ ἀντιλήψομαι· καὶ ἰδοὺ ἡ ἀρχὴ ὁποιασδήποτε σημειωτικῆς, εἴτε ὁποιασδήποτε γνώσεως, τὰς ἰδέας διά τινων σημείων ὑποσημαινούσης.

## § ΚΖ'.

Ὡς ἐκ τῆς αὐτῆς ἀρχῆς προέρχονται ἴσως, καὶ τὰ τῆς συμπαθείας λεγόμενα αἰσθήματα· οὕτω φέρ' εἰπεῖν· ἐνῷ τὸ ὀπτικόν μου κινεῖται νεῦρον, ἐὰν καὶ τὸ τῆς γεύσεως ἰσχυρῶς συμπαροξυνθῇ, μετὰ ταῦτα τοῦ ὀπτικοῦ μόνου παροξυνθέντος, καὶ τὸ τῆς γεύσεως συγκινηθήσεται· οὕτω δὲ καὶ ἡ γεῦσις διεγερθήσεται.

## § ΚΗ'.

Ἐκ τούτων λοιπὸν μανθάνομεν, ὅτι ὅταν μὲν ἁπλῶς προσβολή τις ἐν ἡμῖν γεννηθῇ, τότε ἁπλῶς πως αἰσθανόμεθα, εἴτε διάθεσιν μόνον τοῦ αἰσθάνεσθαι λαμβάνομεν· ὅταν δὲ ἰσχυρῶς ἡ τοιαύτη προσπέσῃ προσβολή, τότε καὶ ἰσχυρῶς αἰσθανόμενοι, εἴτε προσέχοντες τῆς ἰδέας ἀντιλαμβανόμεθα τοῦ προσβάλλοντος· ὅταν δὲ πάλιν δύο ἢ πολλαὶ προσβολαὶ ἀναφορὰν τινὰ πρὸς ἀλλήλας ἔχουσαι, τὰ αἰσθη-
συγκινήσωσιν ὄργανα, τότε ἑνός τινος ὀργάνου ὡσαύτως κινη-
τῶν ...αὶ τῆς τῶν λοιπῶν κινήσεως ἀναμιμνησκόμεναι ἀντιλήψόμεθα·
τα ἄλ... ὁποιαδήποτε ἀνάμνησις διάφορος τοῦ αἰσθάνεσθαι τρόπος
τῶν ἀπό... ἐκ τῆς τῶν προσβολῶν προσοικειώσεως ἐξαρτώμενος.
ται· εἴτε
λαμβάνει

## § ΚΘ'.

τῶν γρα... δὲ ἀντὶ μιᾶς δύο διάφοροι προσβολαὶ ἰσχυρῶς ἡμῖν συμ-
στικῶν αἰ...σιν, εἴτε ἐὰν δύο τινῶν διακεκριμένων αἰσθημάτων, διὰ
...ων αἰσθητηρίων ἀντιλαμβανόμεθα, ἢ διά τινος ἀναμνήσεως

ὡσαύτως ἀναμιμνησκόμεθα, τότε σύγκρισις μὲν εἰς τὸ πρῶτον, σκέψις δὲ εἰς τὸ δεύτερον γίνεται· ἐὰν δὲ καὶ τῆς διαφορᾶς αὐτῶν συναισθανώμεθα, τότε κρίσις, εἴτε ἀπόφανσις ἐκτελεῖται καὶ τοιοῦτοί τινές εἰσιν οἱ διάφοροι τοῦ αἰσθάνεσθαι τρόποι, εἴτε βαθμοί, ὧν ἡ μερικωτέρα ἀνάπτυξις, τῆς λογικῆς ἐστιν ἐπιστήμης τὸ ἀντικείμενον.

## § Λ′.

Ἐπειδὴ δὲ καὶ ὁποιαδήποτε προσβολή, ἢ μετρίως πως, καὶ οἷον εὐαρέστως τὰ νεῦρα κινεῖ, ἢ βιαίως πως, καὶ οἷον δυσαρέστως· δῆλον ὅτι αἰσθήματός τινος εἰς τὸν ἄνθρωπον προσπεσόντος, καὶ ἡδονή τις, ἢ πόνος αὐτῷ προσγενήσεται· καὶ κατὰ μὲν τὴν πρώτην, ὡς φαίνεται, τὰ πέρατα τῶν νεύρων, καὶ αὐτὰ τὰ νεῦρα ἐπεκτεινόμενα μεῖζον καταλαμβάνουσι διάστημα, τὰ αἰσθανόμενα σημεῖα, οὕτως εἰπεῖν, πολλαπλασιάζοντα· κατὰ δὲ τὸν δεύτερον ἐκ τοῦ ἐναντίου, καὶ τὰ πέρατα τῶν νεύρων, καὶ αὐτὰ τὰ νεῦρα συστελλόμενα, ὡς μικρότερον κατέχουσι τὴν ἐπιφάνειαν, δι' ἧς τὸ αἴσθημα διαδίδοται, ἐλάσσονα ποιοῦντα.

## § ΛΑ′.

Ἐπειδὴ πάλιν, καὶ ὁποιασδήποτε ἡδονῆς προξενηθείσης, ἢ ὁποιουδήποτε πόνου προσγεγονότος, καὶ χρεία τις συνδιεγείρεται, τοῦ φυλάττειν μὲν τὴν πρώτην, ἀποβάλλειν δὲ τὸν δεύτερον· δῆλον ὅτι, καὶ τοῦ μέσου τοῦ εἰς φυλακὴν μὲν τῆς πρώτης, ἀποβολὴν δὲ τοῦ δευτέρου συντείνοντος, γνωστοῦ ὄντος, καὶ ἔφεσίς τις τούτου ἐν ἡμῖν *προσγενήσεται. Καὶ ἰδοὺ πως διεγείρεται καὶ ἡ δευτέρα τοῦ ἀνθρώπου δύναμις, ἡ βούλησις* δηλ. ἥτις διὰ τῶν νεύρων, τὰς προαιρετικὰς λεγομένας ἐκτελεῖ κινήσεις· ὅτι δὲ αἱ τοιαῦται κινήσεις, εἰς τὰ ἐσωτερικὰ τῶν νεύρων πέρατα διαδοθεῖσαι, διὰ τῶν νεύρων αὐτῶν, εἰς τὰ ἀνάλογα τοῦ σώματος μέρη μεταδίδονται, δῆλον ἐκ τῆς καθημερινῆς πείρας γίνεται· καθότι νεύρου τινὸς βλαφθέντος, καὶ τὸ εἰς αὐτὸ προσιδιάζον μέρος τοῦ σώματος ἀκίνητον καθίσταται.

## § ΛΒ′.

Καὶ τοιαῦται εἰσὶν αἱ δύο κυριώτεραι τοῦ γινώσκοντος [illegible] εἰτ[illegible] τὸ αἰσθάνεσθαι δηλ. καὶ βούλεσθαι· δι' ὧν κινήσεις τινὰς [illegible] χανικὰς διὰ τῶν νεύρων, ὁ ἄνθρωπος λαμβάνων, μετά [illegible]του [illegible] συνδέει σημείων, εἴτε διαφόρων κινήσεων· ταύτας δὲ πάλ[illegible] ἄλλας τινὰς προαιρετικὰς παράγει κινήσεις, ἢ διαλεγόμε[illegible] ἢ ἕ[illegible]ρόν τι πράττων.



## § ΛΓ′.

Οὕτω, φέρ' εἰπεῖν, ὁ ἄνθρωπος κατ' ἀρχὰς ἁπλᾶς τινας δέχεται κινήσεις, εἴτε ἁπλᾶς τινας λαμβάνει ἰδέας, τοιαῦται δὲ εἰσὶ πρῶτον, αἱ διὰ τῶν ἐξωτερικῶν λεγομένων αἰσθήσεων, κατὰ πρώτην διεγειρόμεναι προσβολήν· οἷον, ἡ τοῦ ψυχροῦ, θερμοῦ, σκληροῦ, μαλακοῦ, λείου, τραχέος· ἡ τῶν διαφόρων ὀσμῶν, χυμῶν, χρωμάτων, ἤχων, κτλ, δεύτερον αἱ διὰ τῶν ἐσωτερικῶν λεγομένων αἰσθήσεων προξενούμεναι, οἷον· αἱ τῆς πείνης, δίψης, κτλ. τρίτον τελευταῖον, αἱ τοῦ αἰσθάνεσθαι, καὶ βούλεσθαι, εἴτε αἱ τοῦ κινεῖσθαι, καὶ οἴκοθεν κινεῖν, καὶ αὗται εἰσὶν αἱ ἁπλούσταται ἰδέαι, τὰ πρῶτα δηλ. στοιχεῖα, τῶν τοῦ ἀνθρώπου γνώσεων, καθότι πρῶτον διὰ τῆς ἀντιστάσεως τὴν ἰδέαν λαμβάνει τῆς ἀνθισταμένης *οὐσίας, εἴτε τῶν περὶ αὐτὸν σωμάτων*· οὕτω δὲ, τὰς ἐν αὐτῷ ὑπὸ τούτων διεγειρομένας προσβολὰς εἰς *αὐτὰ ἀναφέρων, συνάπτει ταύτας, καὶ οὕτω σχηματίζει τὰς ἀτομικὰς λεγομένας* ἰδέας, ἀφῃρημένως δὲ αὐτὰς θεωρῶν, καὶ τὰς ἀφῃρημένας παράγει ἰδέας, τὰ εἴδη, τὰ γένη, κτλ.

## § ΛΔ′.

Ὡσαύτως φιλῶν μὲν τὰς εὐαρέστως αὐτῷ προσγινομένας κινήσεις, ἢ εὐάρεστα αἰσθήματα, μισῶν δὲ τὰ δυσάρεστα, κρίνων ὅτι ἔσεται ἡ τοιάδε ἢ τοιάδε εὐαρέστησις, εἴτε ἐλπίζων, κρίνων ὅτι ἔσεται ἡ τοιάδε, ἢ τοιάδε δυσαρέστησις, εἴτε φοβούμενος, σχηματίζει τὰ διάφορα παθητικὰ λεγόμενα αἰσθήματα· λαμβάνει δηλ. τὰς ἰδέας τῶν διαφόρων αὐτοῦ παθῶν τουτέστι τῆς φιλίας, τοῦ μίσους, τῆς ἐλπίδος, τοῦ φόβου, κτλ.

## § ΛΕ′.

Ταύτας δὲ πάλιν τὰς κινήσεις, εἴτε ἰδέας, μετά τινων σημείων, λέξεων δηλ. ἢ *ἄλλων τινῶν σημαντικῶν πραγμάτων προσοικειῶν*, καὶ ταῦτα πάλιν ἀλλήλοις ἐπισυνάπτων, μανθάνει καὶ τὰς ἐν τοῖς λοιποῖς ἀνθρώποις ἐγγινομένας κινήσεις, εἴτε ἰδέας, καὶ οὕτω, μετὰ τῶν ὁμοίων αὐτῷ παρόντων ὄντων, συγκοινωνεῖ· τὰ σημεῖα δὲ ταῦτα ἄλλοις τισὶ σημείοις, εἴτε γράμμασιν ἐν γένει συνδέων, καὶ μετὰ τῶν ἀπόντων, καὶ μετὰ τῶν προγεγονότων ἀνθρώπων συνδιαλέγεται· εἴτε τὰς ἐν αὐτῷ γενομένας μανθάνει κινήσεις, τὰς αὐτῶν δηλ. λαμβάνει ἰδέας· οὕτω δὲ διὰ τῆς πείρας, διὰ τῆς διαλέκτου, διὰ τῶν γραμμάτων, διὰ τῆς ἕξεως, ἢ ἐν γένει διὰ τῆς ὀρθῆς τῶν γνωστικῶν αὐτοῦ δυνάμεων χρήσεως, τὰς διαφόρους τελειοποιεῖ γνώσεις.

## § ΛϚ΄.

Ἐκ τῶν μέχρι τοῦδε ῥηθέντων, μανθάνομεν ἐν γένει, ὅτι αἱ τοῦ γινώσκοντος δυνάμεις, δύο κυρίως εἰσί· τὸ αἰσθάνεσθαι, καὶ βούλεσθαι· τὸ δὲ δι᾽ αὐτῶν ἐκτελούμενον ἀποτέλεσμα, ἡ κίνησις ὑπάρχει· καὶ διὰ μὲν τῆς πρώτης, ἡ διὰ τῶν ἐξωτερικῶν περάτων τῶν νεύρων εἰς τὸν ἐγκέφαλον μεταδιδομένη· διὰ δὲ τῆς δευτέρας, ἡ προαιρετικὴ καλουμένη, ἥτις διὰ τῶν ἐσωτερικῶν ἄκρων τῶν νεύρων, εἰς τὰ ἔξω μετοχετεύεται καὶ τελευταῖον καταλαμβάνομεν, ὅτι ἡ ὀρθὴ τῶν δυνάμεων τούτων κρίσις, τὰς διαφόρους τοῦ ἀνθρώπου ἐτελειοποίησε γνώσεις, τὰς ἱστορικὰς δηλ. μιμητικὰς ἢ τεχνικὰς καὶ ἐπιστημονικάς, περὶ ὧν μερικώτερον ῥηθήσεται.

---

# ΚΕΦΑΛΑΙΟΝ Γ΄.

## Περὶ ἱστορικῶν γνώσεων

## § ΛΖ΄.

Τὰ γεγονότα, καὶ τὰ ἐν τῇ φύσει γινόμενα ἐν γένει, εἴτε τὰ ὄντα κατά τινα τάξιν ἐξιστορούμενα, τὰς ἱστορικὰς ὀνομασθείσας συγκροτοῦσι γνώσεις· καὶ ἐπειδὴ οὕτω πως ἐξιστορούμενα διηγοῦνται, ἢ τὰ ὡς πρὸς τὸν Δημιουργὸν ἀναφερόμενα, ἢ τὰ ὡς πρὸς τὰ Δημιουργήματα θεωρούμενα, τὸν ἄνθρωπον δηλ. καὶ τὴν φύσιν ἐν γένει, δῆλον ὅτι αἱ ἱστορικαὶ γνώσεις, εἰς ἱεράς, πολιτικάς, καὶ φυσικὰς γενικώτερον διακριθῆναι δύνανται.

## § ΛΗ΄.

Καὶ πρῶτον αἱ Ἱεραί, ἢ ἀναφέρονται ὡς πρὸς τὴν κατάληψιν, τὰς ὑπὲρ ἄνθρωπον ἐξιστοροῦσαι γνώσεις, καὶ τότε λέγονται κυρίως, ἱεραὶ ἱστορικαὶ γνώσεις, ἢ ὡς πρὸς τὴν παράδοσιν, καὶ ὀνομάζονται ἐκκλησιαστικαί, ἢ ὡς πρὸς τὰς διαφόρους λατρείας, καὶ λέγονται Θρησκευτικαί, ἢ Θρησκειολογικαί.

## § ΛΘ΄.

Δεύτερον αἱ πολιτικαὶ ἢ περιγράφουσι τῶν ἀνθρωπίνων γνώσεων τὴν ἀρχὴν καὶ πρόοδον, καὶ τότε ὀνομάζονται ἱστορικαὶ τῶν μαθημάτων γνώσεις ἐν γένει· οἷον, αἱ τῶν ἐπιστημῶν τῆς φιλοσοφίας, τῶν μαθηματικῶν, τῆς φυσικῆς, τῆς γραμματικῆς κτλ. ἢ ἐξιστοροῦσι τὰ τῶν χειρῶν αὐτοῦ ἔργα, καὶ τότε προσαγορεύονται γνώσεις ἱστορικαὶ τῶν τεχνῶν· οἷον τῆς μουσικῆς, ζωγραφικῆς, γλυπτικῆς, ἀρχιτεκτονικῆς κτλ. ἢ διηγοῦνται τὰς πράξεις αὐτοῦ, καὶ τότε κυρίως ὀνομάζονται πολιτικαὶ οἷον αἱ τῶν ἐθνῶν ἱστορίαι, καὶ τῶν νόμων διαφόρων ἐθνῶν.



## § Μ΄.

Τρίτον τελευταῖον, αἱ περὶ τὴν φύσιν ἱστορικαὶ γνώσεις, εἴτε ἡ φυσικὴ ἱστορία, ἢ περιγράφει τὴν θέσιν, τὰς κινήσεις, τὰς μεταβολὰς τῶν ἀστέρων, καὶ τότε καλεῖται ἀστερογραφία, ἢ κοσμολογία, ἢ κοσμογραφία, ἢ οὐρανογραφία, ἥτις πάλιν εἰς πλανητολογίαν, ἢ πλανητογραφίαν, κομητολογίαν, ἢ κομητογραφίαν ὑποδιαιρεῖται, ἢ τὰ ἐν τῇ ἀτμοσφαίρᾳ φαινόμενα ἐξιστορεῖ, καὶ τότε μετεωρολογία προσαγορεύεται, ἢ τὴν περιγραφὴν τῶν διαφόρων ὀρυκτῶν ἔχει ὡς ἀντικείμενον, καὶ τότε λαμβάνει τὸ ὄνομα ὀρυκτολογία, ἥτις πάλιν εἰς γεωλογίαν, μεταλλολογίαν, λιθολογίαν καὶ τὰ λοιπὰ ὑποδιαιρεῖται, ἢ περιγράφει τὰ φυτὰ ἐν γένει, καὶ τότε φυτολογία καλεῖται, εἰς πολλὰς ὑποδιαιρουμένη κλάσεις, ἢ τὰ διάφορα τῶν ζώων ἐξιστορεῖ εἴδη, καὶ τότε ζωολογία λέγεται, εἰς παμπληθεῖς καὶ αὐτὴ διατεμνομένη διαιρέσεις, ἢ τὴν ἐσωτερικὴν τῶν ζώων καὶ τῶν φυτῶν ἐξετάζει κατάστασιν, καὶ τότε φυτοτομία, καὶ ζωοτομία ἐν γένει ὀνομάζεται, αἵ τινες εἰς ἄλλας ὑποδιαιροῦνται κλάσεις· οἷον ἀνατομὴν ἢ ἀνατομίαν, πτηνοτομίαν, ἰχθυοτομίαν κτλ.

## § ΜΑ΄.

Ἐπειδὴ δὲ καὶ ἡ τῶν γεγονότων, ἢ τῶν ὄντων διήγησις ἄνευ τῆς τῶν τόπων περιγραφῆς, καὶ τῶν χρόνων, καθ᾽ οὓς δηλ. ἢ συνέβησαν, ἢ συμβαίνουσι ἀτελής ἐστιν, εἰς τὰς προῤῥηθείσας γνώσεις, καὶ ἡ τῶν τόπων καθ᾽ οὓς ὑπῆρξαν τὰ περιγραφόμενα προστίθεται, καὶ ἡ τῶν χρόνων, καθ᾽ οὓς ἐγένοντο τὰ ἐξιστορούμενα· τουτέστιν ἡ γεωγραφία, εἰς διαφόρους διαιρουμένη διαιρέσεις, καὶ ἡ χρονολογία εἰς πολλὰς διαστελλομένη ἐποχάς. Καὶ εἰς τοσαῦτα καὶ τοιαῦτα εἴδη γνώσεων, αἱ καλούμεναι ἱστορικαὶ διαιροῦνται γνώσεις, αἵτινες τὸν ἔμπειρον, ἢ πολυμαθῆ, ἢ ἱστορικὸν συναποτελοῦσιν ἄνθρωπον.

## § ΜΒ΄.

Εἰς τὰς τοιαύτας δὲ γνώσεις, καὶ μάλιστα εἰς τὰς κυρίως πολιτικὰς λεγομένας, δύο τινὰ παρατηρητέα εἰσί. Πρῶτον δηλ. ἡ τῶν διηγουμένων ὕπαρξις, καὶ δεύτερον ἡ ἐξ αὐτῶν εἰς ἡμᾶς προερχομένη

ὠφέλεια· ὅθεν δοθείσης τινὸς ἱστορικῆς γνώσεως, ἀνάγκη ἐστίν, ἵνα πρῶτον, ἐξετάσαντες αὐτὴν διαφόρως βεβαιωθῶμεν, εἰ ἀξιόπιστός ἐστι, καὶ δεύτερον, ἵνα ἐρευνήσαντες ἀκριβῶς τὸ διηγούμενον, καὶ παρατηρήσαντες καλῶς τὰς ὡς πρὸς ἡμᾶς αὐτοὺς ἀναφοράς, ὠφέλειάν τινα δι' αὐτοῦ προερχομένην ἡμῖν ἀνακαλύψωμεν.

## § ΜΓ'.

Κατὰ δύο δὲ τρόπους περὶ τῆς ὑπάρξεως παντὸς βεβαιούμεθα πράγματος· τουτέστι, ἢ διὰ τῶν ἰδίων ἡμῶν αὐτῶν αἰσθήσεων, ἐὰν παρόντων ἐκτελεσθῇ, ἢ διὰ τῆς τῶν ἄλλων μαρτυρίας, ἐὰν πρὸ ἡμῶν ἢ ἀπόντων ἡμῶν συμβῇ· παρατηροῦντες ὅμως ἀκριβῶς τὴν τοῦ μαρτυροῦντος ἀξιοπιστίαν καὶ πάντα τὰ περὶ τὸ πρᾶγμα θεωρούμενα, εἰ δηλ. οὐδόλως τῷ ὀρθῷ ἀντίκειται λόγῳ. Εἰ κατὰ τὸν αὐτὸν χρόνον ἀκμάσαντες ἱστορικοί, οὐ μόνον μηδεμίαν κατ' αὐτοῦ παρέχουσιν ἀμφιβολίας πρόφασιν, ἀλλὰ σύμφωνοι ὡς πρὸς τὴν ὕπαρξιν αὐτοῦ εὑρίσκονται· εἰ μνημεῖα τινά ὡς πρὸς αὐτὸν ἀναφερόμενα καὶ μέχρις ἡμῶν διατηρούμενα, τὰ περὶ αὐτοῦ πιστὰ ποιοῦσι λεγόμενα· οὕτω πως δὲ τὰ ἱστορικὰ ἐξετάζοντες πράγματα οἱ περὶ τὰς ἱστορικὰς γνώσεις ἐνασχολούμενοι, καὶ περὶ τῆς ὑπάρξεως αὐτῶν, καὶ περὶ τῆς ἐξ αὐτῶν βεβαιοῦνται ὠφελείας· ἐρευνῶντες δὲ καὶ τὰς αἰτίας τῶν διαφόρων πολιτικῶν συμβεβηκότων, πρὸς δὲ καὶ τὰ αὐτῶν ἐξιχνιάζοντες ἀποτελέσματα, τὰς φιλοσοφικὰς λεγομένας τῶν πολιτικῶν πραγμάτων παράγουσιν ἱστορίας.

---

# ΚΕΦΑΛΑΙΟΝ Δ'.

## **Περὶ μιμητικῶν ἢ τεχνικῶν γνώσεων.**

## § ΜΔ'.

Πρῶτον ἡ ἀνάγκη, καὶ δεύτερον ἡ εὐαρέστησις εἰς μίμησιν τὸν ἄνθρωπον διεγείρουσαι τῶν περὶ αὐτῶν φυσικῶν καὶ ἠθικῶν ὄντων, ἔδωκεν ἀρχὴν εἰς τὰς μιμητικὰς λεγομένας γνώσεις,εἴτε τὰς καλουμένας τέχνας ἐν γένει, καὶ ἡ μὲν πρώτη τὰς βαναύσους παρήγαγεν, ἡ δὲ δευτέρα τὰς καλλιτεχνίας, εἴτε τὰς λεγομένας ἐλευθέρους τέχνας· ὅθεν τὸ ἀντικείμενον τῶν ἐλευθέρων τεχνῶν, ἡ μίμησις ἐν γένει ἐστί, τῶν τῆς φύσεως καλλονῶν.



## § ΜΕ'

Τὸ καλόν, ὡς φαίνεται, προέρχεται ἐν γένει ἐκ τῆς συμμετρίας, εἴτε ἁρμονίας τῶν μερῶν τοῦ εἰς ἡμᾶς προσβάλλοντος· ὅπερ μετρίας τινάς, καὶ τῷ ἐνδεχομένῳ ὀργάνῳ ἀναλόγους διεγεῖρον κινήσεις, εὐαρέστησιν ἡμῖν προξενεῖ, τὸ μεγαλοπρεπὲς μὲν ὑπέροχον ὑψηλὸν λέγεται, ὅταν εὐχαρίστως εἰς συμπάθειαν ἡμᾶς διεγείρῃ. Καὶ τελευταῖον χαρίεν προσηγορεύθη, ὅταν δι' αὐτοῦ εἰς εὐφρόσυνα μεταβαίνομεν πάθη.

## § ΜϚ'.

Τὰ τοιαῦτα λοιπὸν τῶν καλῶν εἴδη, διὰ διαφόρων μέσων ἢ ὀργάνων μιμούμενα, τὰς διαφόρους καλλιτεχνίας παρήγαγον· οὕτω φερ' εἰπεῖν· διὰ τῶν χρωμάτων, διὰ τῶν πλάσεων καὶ γλυφῶν τὰς τῆς φύσεως καλλονὰς διαφόρως οἱ ἄνθρωποι ἐξεικονίζοντες, τὰ διάφορα ἐφεῦρον εἴδη τῆς Γραφικῆς, Πλαστικῆς καὶ Γλυπτικῆς· διαφόρως δὲ ταῦτα ἐκφράζοντες εἰς τὰ διάφορα τῆς καλλιτεχνίας εἴδη ὕπαρξιν ἔδωκαν· τὰς διαφόρους δέ, ἵν' οὕτως εἴπω, φωνὰς καὶ τῆς φύσεως τῶν παθῶν μιμούμενοι τὰ διάφορα τῆς Μουσικῆς παρήγαγον μέρη· ὡς ἐκ τῆς χρείας δὲ καὶ τῆς εὐχαριστήσεως ὁδηγούμενοι τὰ διάφορα ἐπενόησαν εἴδη καὶ τάξεις τῆς Ἀρχιτεκτονικῆς. Καὶ τοιαῦτά τινα εἰσὶ τὰ εἴδη τοῦ καλοῦ, τοιαῦτα δὲ καὶ τοσαῦτα τὰ εἴδη τῶν μιμήσεων αὐτοῦ, ἐκ τῶν διαφόρων μέσων διακρινόμενα. Ἴδωμεν δὲ καὶ τίνα εἰσὶ τὰ εἰς τοιαύτην μίμησιν ἀπαιτούμενα.

## § ΜΖ'.

Δύο τινὰ εἰς ὁποιανδήποτε μίμησιν ἀπαντῶνται· πρῶτον δηλ. ἡ ἀληθὴς ἢ πιθανὴ εὕρεσις τοῦ κατ' ἰδέαν πρωτοτύπου, ὅπερ ἀνάλογον τῷ πραγματικῷ ἐπινοεῖται παραδείγματι· καὶ δεύτερον ἡ ἀληθὴς ἢ ἡ πιθανὴ διά τινων μέσων ἔκθεσις αὐτῶν.

## § ΜΗ'.

Καὶ τὸ μὲν πρῶτον ἐκ τριῶν τινων προέρχεται, ἐκ τοῦ καλῶς τοῦ προσβάλλοντος αἰσθέσθαι πρωτοτύπου τῆς φύσεως, ἐκ τοῦ καλῶς τὰ διάφορα τούτου ἐκλέξαι μέρη, καὶ ἐκ τοῦ καλῶς ἑνῶσαι ταῦτα, καὶ συνθῆναι τὸ κατ' ἰδέαν πρωτότυπον.

## § ΜΘ'.

Τὸ δὲ δεύτερον, εἰς τὴν τελειότητα συνίσταται τῶν μέσων δι' ὧν ἐκτεθήσεται τὸ ἐπινοηθὲν πρωτότυπον, καὶ εἰς τὴν ἐκλογὴν αὐ-

τῶν, δι' ὧν μερικώτερον χαρακτηρισθήσεται· καὶ ἡ μὲν τελειότης τῶν μέσων τὴν ἀκριβῆ ἀπαιτεῖ γνῶσιν αὐτῶν, ἥτις ταῖς ἐπιστήμαις διὰ παντὸς συμπροβαίνει, καὶ ταῖς καλλιτεχνίαις ταύτας συνδέει· ἡ δ' ἐκλογὴ εἰς τὴν χρῆσιν συνίσταται τῶν εἰς τὸ προκείμενον καλὸν ἀνηκόντων χαρακτηριστικῶν μέσων· ἡ δὲ τοιαύτη ἐκλογὴ καὶ ὕφος ὀνομάζεται, ὅπερ ὑψηλὸν καὶ μεγαλοπρεπὲς εἰς τὸ ὑπέροχον καλόν, μέτριον καὶ συμπαθὲς εἰς τὸ ἱλαρόν, κομψὸν καὶ ἀνθηρὸν εἰς τὸ χαρίεν ὑπάρχον τὰ διάφορα τοῦ καλοῦ χαρακτηρίζει εἴδη καὶ τὰ διάφορα τούτου αἰσθήματα· καὶ τοιαῦτά τινά εἰσι τὰ εἰς τὴν μίμησιν τοῦ καλοῦ, εἴτε τὰ εἰς τὰς καλλιτεχνίας πάσας ἐν γένει θεωρούμενα.

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

### Περὶ ἐπιστημονικῶν γνώσεων.

### § Ν'.

Ὅταν ὁ ἄνθρωπος καὶ τὰς αἰτίας τῶν περὶ αὐτὸν ἐρευνᾷ φαινομένων, τότε τὰς ἐπιστημονικὰς λεγομένας, εἴτε τὰς λογικὰς συνίστησι γνώσεις, τοιαύτην δὲ οὕτως εἰπεῖν λογικὴν ἔρευναν ἐκτελεῖ, ἢ τὸν ἄνθρωπον ὡς διανοούμενον θεωρῶν, ἢ τὴν φύσιν ἐν γένει ἐρευνῶν, ἢ τὰ περὶ τὸν Δημιουργὸν ἐξετάζων, ἢ τὸν ἄνθρωπον, ὡς πρὸς αὐτὸν καὶ ὡς πρὸς τοὺς ὁμοίους αὐτῷ ἀναφέρων, ἢ τελευταῖον τὸ τέλος τοῦ ἀνθρώπου ὡς ἀντικείμενον ἔχων· ἴδωμεν λοιπὸν πῶς ἐκ τῶν τοιούτων ἐξετάσεων αἱ λογικαὶ παράγονται γνώσεις ἀπὸ τῆς θεωρίας τοῦ ἀνθρώπου ἀρχόμενοι, εἴτε τὰς ἀρχὰς τῆς λεγομένης ψυχολογίας ἐρευνῶντες.

### § ΝΑ'.

Ὅτι μὲν οὐδεμίαν ἀπολύτως οὐσίαν, ἀναφορὰς δέ τινας μόνον τῶν περὶ ἡμᾶς αὐτοὺς ὄντων, ὡς πρὸς ἡμᾶς θεωρουμένας γινώσκομεν, ὅτι οὐ τὴν φύσιν τῶν οὐσιῶν ἀπολύτως μανθάνομεν, ἀλλὰ τὰς ἐν ἡμῖν αὐτοῖς ὡς ἐξ αὐτῶν προερχομένας μεταβολάς, ἐκ μικρᾶς παρατηρήσεως δῆλον ἀποκαθίσταται· ὅτι δὲ πάλιν ὡς ἐκ μόνης τῆς διαφορᾶς τῶν ἐν ἡμῖν προξενουμένων μεταβολῶν, καὶ τὴν διαφθορὰν τῶν προξενουσῶν αὐτὰς αἰτιῶν, βεβαιῶσαι δυνάμεθα, οὐδεμιᾶς δεῖται ἀποδείξεως· ὅθεν καὶ ὁσάκις εἰς ἡμᾶς διάφορα προσπίπτουσιν ἀποτελέσματα, διαφόρους συμπεραίνομεν καὶ τὰς παραγούσας αὐτὰ αἰτίας, εἰ καὶ τὴν χρῆσιν αὐτῶν κυρίως οὐ γινώσκομεν.



### § ΝΒ'.

Καὶ τοιαῦτά εἰσι τὰ ὅρια τῶν τοῦ ἀνθρώπου γνώσεων, ὅστις διὰ παντὸς ἀπὸ τῶν ἀποτελεσμάτων εἰς τὴν θεωρίαν ἀνάγεται τῶν αἰτιῶν αὐτῶν· κατὰ τὴν τοιαύτην λοιπὸν ἡμῶν ἰδιότητα, ἐξετάσωμεν καὶ τὰ ἐν τῷ ἀνθρώπῳ φαινόμενα, ἵνα βεβαιωθῶμεν εἰ μία τις ἐν αὐτῷ εὑρίσκεται οὐσία ἢ δύο τινὲς εἰς τὸ αὐτὸ συνελθοῦσαι τὸν ἄνθρωπον συναποτελοῦσι.

### § ΝΓ'.

Τὰ περὶ τὸ λογικὸν τοῦτο παρατηροῦντες φαινόμενα, μανθάνομεν πρῶτον, ὅτι ἐκ τίνων σύγκεινται μερῶν τάξιν τινὰ πρὸς ἄλληλα φυλαττόντων εἰς συναπαρτισμὸν ὅλου τινός, καὶ ὅτι τὰ μέρη καὶ τὸ ὅλον τοῦτο διατιθέασιν ἡμᾶς ὡς ἀνθιστάμενα, ὡς ἐκτατά, ὡς θερμὰ καὶ ἐν γένει ὡς ἔχοντα τὰς ἰδιότητας ἅς τινας εἰς τὴν οὐσίαν ἀποδίδομεν, ἣν σῶμα ὀνομάζομεν, εἰ καὶ τὴν φύσιν αὐτῆς κυρίως ἀγνοοῦμεν. Δεύτερον καταλαμβάνομεν, ὅτι ὁ ἄνθρωπος ἔχει καὶ τὴν δύναμιν τοῦ αἰσθάνεσθαι καὶ βούλεσθαι· ἡ τοιαύτη λοιπὸν δύναμις, ἡ εἰς τὸ σωματικὸν τοῦ ἀνθρώπου προσιδιάζει ὅλον ὡς ἔκ τινος ἑτέρας προέρχεται οὐσίας, ἧς τινος ἡ μὲν φύσις κυρίως ἄγνωστος, ὡς ἐκ τοῦ σώματος, ἐστὶν ἀποτελέσματα δέ τινα, οἷον τὸ αἰσθάνεσθαι καὶ βούλεσθαι, ὡς καὶ ἐκείνου τὸ ἐκτατόν, τὸ βαρύ, τὸ θερμόν, κτλ. γνωστὰ ἡμῖν γίνονται.

### § ΝΔ'.

Ἐπειδὴ καὶ ὁποιοσδήποτε διοργανισμὸς ἕνωσις μερῶν ἐστιν, ἁρμονίαν τινὰ πρός τι τέλος συναποτελούντων δῆλον ὅτι εἰς ὁποιονδήποτε διωργανισμένον ὅλον τὰ συνελθόντα μέρη τὴν ἰδίαν φύσιν οὐ μεταβάλλουσι· καὶ ἑπομένως τὸ διὰ τοῦ ὅλου ἐκτελούμενον ἀποτέλεσμα, τὸ κεφάλαιον ἔσεται τῶν κατὰ μέρος ἀποτελεσμάτων· οὕτω φερ' εἰπεῖν· εἰς ὁποιανδήποτε μηχανὴν ἡ ὅλη αὐτῆς μηχανικὴ κίνησις τὸ κεφάλαιον ἔσεται τῶν κατὰ μέρος αὐτῆς μηχανικῶν κινήσεων, εἴτε τῶν ὡς ἐκ τῆς ἀντιστάσεως τῶν μερῶν προερχομένων. Ὅθεν καταλαμβάνομεν ὅτι, ἐπειδὴ καὶ τὸ ἀνθρώπινον σῶμα ἐξ ἀνθισταμένων σύγκειται μερῶν, ἢ ἐπειδὴ τὰ μέρη τὴν ἐξ ἀντιστάσεως μόνον δέχονται κίνησιν, ἀνάγκη ἐστίν, ἵνα καὶ τὸ ὅλον τὴν τοιαύτην μόνον ἔχει μηχανικὴν κίνησιν· ἑπομένως δὲ καὶ ὁ ἄνθρωπος, εἰ μόνον σῶμα ἦν, ἵνα ταύτης μόνης πλουτῇ τῆς ἰδιότητος· ἐπειδὴ

ὅμως ἔχει καὶ τὴν ἰδιότητα τοῦ οἴκοθεν κινεῖσθαι, ἥτις οὐδόλως εἰς τὸ διωργανισμένον προσιδιάζει σῶμα, ἀναγκαζόμεθα, ἵνα ὁμολογήσωμεν, ὅτι ἐν τῷ ἀνθρώπῳ καὶ ἑτέρα τις μὴ σωματικὴ εὑρίσκεται οὐσία, τὴν τοῦ οἴκοθεν κινεῖσθαι ἔχουσα ἰδιότητα, καὶ ὅτι αὐτὴ τῇ σωματικῇ συνελθοῦσα τὸν ἄνθρωπον συνεκρότησε.

## § ΝΕ΄.

Ἔπειτα παρατηροῦμεν ὅτι, ἐνῷ ἡ δύναμις τοῦ αἰσθάνεσθαι καὶ βούλεσθαι προαιρεῖται, τὸ σωματικὸν ὅλον τοῦ ἀνθρώπου οὐ μόνον οὐδεμίαν ἔχει προαίρεσιν, ἀλλὰ καὶ ἀντίκειται τῇ τοῦ βούλεσθαι δυνάμει· ἐὰν λοιπὸν τὴν τοῦ προαιρεῖσθαι δύναμιν, εἰς τὸ σωματικὸν ἀποδῶμεν ὅλον, τότε ἀντιφάσκομεν ἐναντιωτάτας κατηγοροῦντες ἰδιότητας ἐνταυτῷ καὶ κατὰ τοῦ αὐτοῦ ὑποκειμένου· καθότι ἀνθίστασθαι τῇ προαιρέσει, καὶ προαιρεῖσθαι ἐνταυτῷ ταυτίζεται τῷ προαιρεῖσθαι καὶ μὴ προαιρεῖσθαι ταυτοχρόνως, τῷ ἔχειν καὶ μὴ ἔχειν προαίρεσιν, τῷ ὑπάρχειν δηλ. καὶ μὴ ὑπάρχειν ἐνταυτῷ, ὅπερ ἀδύνατον.

## § ΝϚ΄.

Ἐκ τούτων βεβαιούμεθα λοιπόν, ὅτι τὰ καθόλου ἐν τῷ ἀνθρώπῳ παρατηρούμενα διάφορα φαινόμενα εἰς δύο διαφορωτάτας προσιδιάζουσιν οὐσίας, καὶ τὰ μὲν ὡς ἐκ τῆς ἀντιστάσεως προερχόμενα εἰς τὴν ἀνθισταμένην οὐσίαν, εἴτε εἰς τὴν σῶμα λεγομένην ἐφαρμόζουσι, τὰ δὲ ὡς ἐκ τῆς προαιρέσεως εἰς τὴν προαιρουμένην οὐσίαν, εἰς τὴν μὴ σωματικὴν δηλαδή, εἴ τε εἰς τὴν ψυχὴν ὀνομαζομένην προσανήκουσι· καὶ οὕτως ἐκ τῆς τῶν ἀποτελεσμάτων διαφορᾶς καὶ τὴν διαφορὰν τῶν ἀποτελουσῶν μαθόντες αἰτιῶν, τὸ σύνθετον τοῦ ἀνθρώπου γιγνώσκομεν.

## § ΝΖ΄.

Διὰ τῶν τοιούτων παρατηρήσεων μανθάνομεν πρὸς τούτοις, ὅτι θατέρας οὐσίας τρόπον τινὰ τοῦ εἶναι διάφορον λαμβανούσης, καὶ ἡ ἑτέρα ἀλλοῖόν τινα τρόπον τοῦ εἶναι δέχεται· τουτέστιν, ὅτι ἡ μὲν ψυχὴ ἐπὶ τοῦ σώματος ἐνεργεῖ· τοῦτο δὲ πάλιν ἐπὶ τῆς ψυχῆς. Πῶς ὅμως ἡ τοιαύτη γίνεται συνδιάθεσις τῶν ἡνωμένων τούτων οὐσιῶν, οὐδόλως οἴδαμεν, ὡς μηδὲ τὴν φύσιν αὐτῶν γινώσκοντες.

## § ΝΗ΄.

Καὶ ταῦτα μὲν εἰσὶ τὰ περὶ τὸν ἄνθρωπον ἐν γένει θεωρούμενα· ἐὰν δὲ τὰ περὶ αὐτῷ παρατηρῇ ὄντα τὸ λογικὸν τοῦτο ὄν, πρῶτον μέν, διὰ τῆς εἰς τὰς προαιρετικὰς αὐτοῦ κινήσεις ἀντιστάσεως αὐτῶν



μανθάνει ὅτι ἔξωθεν αὐτοῦ ὑπάρχουσιν· ἔπειτα ἐπειδὴ καὶ διαφόρως αὐτῷ προσβάλλουσιν, εἴτε διαφόρως ἀνθίστανται, μανθάνει καὶ τὰς διαφόρους αὐτῶν ἀντιστάσεις, εἴτε φυσικὰς ἰδιότητας· ταύτας λοιπὸν τὰς φυσικὰς ἰδιότητας τῶν σωμάτων ὁ ἄνθρωπος ἐξετάζων, ἐξ αὐτῶν δὲ καὶ εἰς τὴν ἔρευναν τῶν αἰτιῶν ἀναγόμενος, τὰς φυσικὰς λεγομένας ἐπιστήμας παρήγαγε.

## § ΝΘ΄.

Καὶ τοιαύτην μὲν ἐξέτασιν ἐν γένει ποιῶν τὴν φυσικὴν καλουμένην κυρίως συνεστήσατο· τὰ διάφορα δὲ στοιχεῖα ἐξ ὧν τὰ σώματα σύγκεινται θεωρῶν, εἰς τὴν καλουμένην χημείαν, εἴ τε στοιχειακήν, ἢ στοιχειολογίαν ἀρχὴν ἔδωκεν!

## § Ξ΄.

Ἐπὶ τὸν ἄνθρωπον δὲ τὴν τοιαύτην αὐτοῦ ἐπάγων ἐξέτασιν τὰς τῶν Ἀσκληπιαδῶν γνώσεις ἐπενόησεν, ὡς πρὸς τὰ διάφορα τοῦ ἀνθρώπου φαινόμενα ἀναφορὰν ἐχούσας· τοιαύτην δέ τινα φυσικὴν ἐξέτασιν καὶ εἰς τὰ περὶ τὸν οὐρανὸν θεωρούμενα ποιῶν, τὴν λεγομένην Ἀστρονομίαν ἐγέννησε.

## § ΞΑ΄.

Ὡς ἐκ τῆς αὐτῆς πάλιν ἀντιστάσεως τῶν περὶ αὐτὸν σωμάτων, τὴν ἰδέαν τῶν διαφόρων διαστάσεων, καὶ τὴν ἰδέαν τοῦ ποσοῦ ἐν γένει λαβών, τὰς τῶν ὁρισμῶν ἐπιστήμας, εἴτε τὰ κυρίως μαθηματικὰ παρήγαγε, τὰ δὲ ἐκ τούτων ἐξαγόμενα ὡς ὄργανα εἰς τὰς φυσικὰς αὐτοῦ ἐρεύνας μεταχειριζόμενος, τὰ λεγόμενα μικτὰ μαθηματικὰ συνεστήσατο.

## § ΞΒ΄.

Μετὰ δὲ τὴν τοιαύτην τῶν περὶ αὐτὸν ὄντων ἐξέτασιν, καὶ εἰς τὴν ἔρευναν μεταβαίνει τῆς ἀρχῆς αὐτῶν, εἰ δηλ. ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ὑπό τινος ὑφίστου παρήχθησαν νοός, ἢ οὕτω πως διὰ παντὸς ὑπῆρχον, τουτέστιν εἰ ὁ κόσμος Δημιούργημά ἐστι πανσόφου τινὸς Δημιουργοῦ, ἢ οὐδεμίαν ἔλαβεν ἀρχήν.

## § ΞΓ΄.

Ἡ ἁρμονία, ἡ κίνησις, καὶ ἐν γένει αἱ ἰδιότητες, καὶ τῶν μερῶν, καὶ τοῦ σύμπαντος ὁλοκλήρου, ἐνδεχόμενά εἰσι, καὶ ἄλλως πως ὑπάρχειν ἠδύναντο· ἐπειδὴ δὲ ταῦτα ἐξ ἑαυτῶν ἀδύνατον ἦν τὰς τοιαύτας λαβεῖν προσδιωρισμένας ἰδιότητας, ὡς εἰς νόμους τινὰς ὑπο-

κείμενα, καὶ μηδεμίαν ἔχοντα τοῦ οἴκοθεν ἐνεργεῖν δύναμιν, ἀναγκαίως ἕπεται ὅτι αἰτία τις τὰς τοιαύτας αὐτοῖς ἔδωκεν ἰδιότητας· τουτέστιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε.

§ ΞΔ΄.

Ὡς ἐκ τῆς τοιαύτης λοιπὸν ἁρμονίας τοῦ σύμπαντος, ὡς ἐκ τῶν διωρισμένων νόμων, καθ' οὓς τὰ ἐν αὐτῷ παράγονται φαινόμενα, βεβαιούμεθα, ὅτι ἔστι τις ὕψιστος Δημιουργός, ὁ τὰς τοιαύτας ἰδιότητας τῷ σύμπαντι διδούς· τουτέστιν ὁ τοῦτο κτίσας, καὶ διά τινων νόμων διοικῶν.

§ ΞΕ΄.

Οἱ νόμοι δέ, δι' ὧν τὸ σύμπαν διοικεῖται, ἐν γένει παρατηρούμενοι, εἰσὶν οἱ ἑξῆς: Πρῶτον οἱ νόμοι, καθ' οὓς αἱ μηχανικαὶ παράγονται κινήσεις, καὶ δι' ὧν ἡ φυσικὴ αὐτοῦ διατηρεῖται ἁρμονία. Δεύτερον οἱ νόμοι τῶν ἁπλῶν αἰσθημάτων, εἴτε τοῦ πόνου, καὶ τῆς ἡδονῆς, δι' ὧν τὰ ἁπλῶς αἰσθανόμενα διατηροῦνται ὄντα. Τρίτον τοῦ τιμίου, τοῦ δικαίου, τῆς ἀρετῆς ἐν γένει, δι' ὧν αἱ πράξεις τῶν ἐλευθέρων διευθύνονται κτισμάτων.

§ ΞϚ΄.

Ἐπειδὴ λοιπὸν ὁ κόσμος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη, καὶ ἐπειδὴ διὰ τοιούτων διοικεῖται νόμων ὑπό τινος ὑψίστου ὄντος, δῆλον ὅτι τὸ τοιοῦτον ὕψιστον ὂν πρὸ αἰώνων ὑπῆρχε, μηδέποτε ἀρχὴν λαβόν· καθότι, εἰ ἔλαβεν ἀρχήν, ἕπεται, ὅτι οὐκ ἔστιν αἰτία τῶν ὄντων, ἀλλ' ἀποτέλεσμα ἄλλης τινὸς αἰτίας, ὅπερ ἄτοπον.

§ ΞΖ΄.

Εἰ δὲ καὶ πρὸ αἰώνων ὑπάρχει τὸ τοιοῦτον ὄν, καὶ ἡ ἀρχὴ ἐστὶ πάντων τῶν ἐνδεχομένων ὄντων, δῆλον ὅτι καὶ ἀναγκαίως ὑπάρχει· ἑπομένως δὲ ὅτι καὶ ὁ λόγος τῆς ὑπάρξεως αὐτοῦ, ἡ ἀνάγκη ἐστὶ τῆς ἰδίας ὑπάρξεως· ὅθεν μανθάνομεν, ὅτι τὸ κτίσαν τὰ πάντα ὕψιστον ὄν, καὶ ἄναρχον, καὶ ἀναγκαῖον, καὶ ἑπομένως αἰώνιον ὑπάρχει ὄν.

§ ΞΗ΄.

Ἐπειδὴ καὶ ἀναγκαίως ὑπάρχει τὸ ὕψιστον ὄν, καὶ ἐπειδὴ οὐδεμίαν ἔλαβεν ἀρχήν, δῆλον, ὅτι οὐδεμίαν, οὔτε ἔλαβεν, οὔτε λήψεται μεταβολήν, τουτέστιν ὅτι τὸ ὕψιστον ὄν, καὶ ἀμετάβλητον ὑπάρχει.



§ ΞΘ΄.

Διὰ τῶν τοιούτων λοιπὸν ἐξετάσεων, καὶ τὰς λοιπὰς τοῦ ὑψίστου ὄντος μανθάνει ὁ ἄνθρωπος ἰδιότητας· τουτέστι τὸ νοερόν, τὸ ἐλεύθερον, τὸ πανάγαθον, κτλ. καταλαμβάνει δηλ. ὅτι τὸ τελειότατόν ἐστιν ὄν, καὶ τοιαῦταί τινές εἰσιν αἱ ἀρχαὶ τῆς λεγομένης φυσικῆς **Θεολογίας**.

§ Ο΄.

Ἀφοῦ δὲ οὕτω πως ἐρευνήσῃ ὁ ἄνθρωπος καὶ τὰ περὶ αὐτὸν ὄντα, λάβῃ δὲ καὶ τὴν ἰδέαν τοῦ πανσόφου δημιουργοῦ, ὡς ἐξ αὐτοῦ ὁδηγούμενος, τότε καί τινας ὡς πρὸς τοὺς ὁμοίους αὐτῷ, καὶ ὡς πρὸς τὸν ὕψιστον Δημιουργὸν ἔχει ἀναφοράς, ἐξετάζων τὰς ἀρχὰς τοῦ φυσικοῦ λεγομένου ἐξάγει νόμου, καθ' ὃν ζῶν εἰς τὸ τέλος δι' ὃ ἐπλάσθη, εἴτε εἰς τὴν αὐτοῦ ὁδηγεῖται εὐδαιμονίαν, τοῦτο δὲ παραβαίνων, δυστυχὴς ἀποκαθίσταται· καὶ ἰδοὺ ἡ διάκρισις τοῦ ἀγαθοῦ, καὶ τοῦ κακοῦ, καὶ πῶς τὸ μὲν ὡς ἐκ τῆς ὀρθῆς τῆς ἐλευθερίας χρήσεως, τὸ δὲ ὡς ἐκ τῆς καταχρήσεως αὐτῆς, ἀρχὴν λαμβάνει.

§ ΟΑ΄.

Ἐπειδὴ δὲ καὶ τὸ τέλος, δι' ὃ ἐπλάσθη ὁ ἄνθρωπος, ἡ αὐτοῦ ἐστιν εὐδαιμονία, δῆλον, ὅτι τὰ εἰς αὐτὴν ὁδηγοῦντα μέσα τὸν νόμον ἀναπληροῦσι· καθ' ὃν ζῶν εἰς τὸ τέλος αὐτοῦ ὁδηγηθήσεται· ὡς ἐκ τοῦ τέλους λοιπὸν τούτου ὁδηγούμενοι, καὶ τὰ μέσα εὑρήσομεν, δι' ὧν εἰς τὸ τέλος αὐτῶν καταντῆσαι δυνησόμεθα.

§ ΟΒ΄.

Καὶ ἐπειδὴ ἄνευ τῆς ἰδίας ὑπάρξεως ἀδύνατόν ἐστιν, ἵνα ὁ ἄνθρωπος εἰς τὸ ἴδιον καταντήσῃ τέλος, δῆλον ὅτι πρῶτον μέσον, δι' οὗ εἰς τὴν εὐδαιμονίαν, καὶ ἑπομένως πρῶτον αὐτοῦ φυσικὸν δικαίωμά ἐστι, τὸ διατηρεῖν ἑαυτόν.

§ ΟΓ΄.

Ἐκ τούτου δὲ τοῦ δικαιώματος τὸ δεύτερον αὐτοῦ πηγάζει δικαίωμα, τὸ δικαίωμα τῶν κτημάτων· δηλ. εἴτε τοῦ κεκτῆσθαι τὰ ἀναγκαῖα μέσα, δι' ὧν ἡ τοιαύτη γίνεται διατήρησις.

§ ΟΔ΄.

Τρίτον δικαίωμα ἔχει ὁ ἄνθρωπος τοῦ τελειοποιεῖν τὰς ἑαυτοῦ δυνάμεις, καθότι ἐπειδὴ καὶ δεκτικός ἐστι τελειοποιήσεως, δυνάμεις

μόνον λαβὼν παρὰ τοῦ Δημιουργοῦ, δηλονότι ἄνευ τῆς τοιαύτης τελειοποιήσεως οὐδέποτε εἰς τὸ σκοπούμενον αὐτοῦ καταντᾷ τέλος.

## § ΟΕ΄.

Τὸ τέταρτον τοῦ ἀνθρώπου δικαίωμα εἰς τὴν ἐλευθερίαν ἀναφέρεται τοῦ φρονεῖν καὶ πράττειν, ὅ,τι δήποτε εἰς τὰ ῥηθέντα ἀνάγεται δικαιώματα μηδόλως ἐκ τῆς τῶν ἄλλων ἐξαρτώμενος βουλήσεως, καθότι πάντα τὰ λοιπά, ἄνευ τοῦ δικαιώματος τούτου ἀνωφελῆ ἔσονται· πάντα δὲ τὰ τοιαῦτα δικαιώματα ἀνάγκη ἐστίν, ἵνα σύμφωνα τῷ ὀρθῷ λόγῳ ὑπάρχωσι· καθότι ἄλλως οὐδόλως εἰς τὸ σκοπούμενον συντελοῦσι.

## § ΟϚ΄.

Ἐκ τῶν δικαιωμάτων τούτων, καὶ τὰ τοῦ ἀνθρώπου ἐξάγονται καθήκοντα· καθότι ἐπειδὴ καὶ ἔλαβεν οὗτος τὴν δύναμιν τοῦ πράττειν, ὅ,τι δήποτε εἰς τὴν αὐτοῦ φέρει εὐδαιμονίαν, δῆλον ὅτι ἡ τοιαύτη δύναμις ματαία ὑπῆρχεν, εἰ ἀπὸ τοῦ ἐνεργεῖν τὰ εἰς τὴν αὐτὴν συντελοῦντα ἐκωλύετο. Ὅθεν καὶ εἰς καθήκοντά τινα καθυπεβλήθη, δι' ὧν ὑποχρεοῦται, οὐ μόνον ἵνα μὴ κωλύῃ, ἀλλ' ἵνα καὶ συνεργῇ εἰς τὴν τῶν δικαιωμάτων ἐκπλήρωσιν.

## § ΟΖ΄.

Πάντα δὲ τὰ τῷ ἀνθρώπῳ καθήκοντα ἐν γένει παρατηρούμενα, εἰς τὴν ἀγάπην ἀνάγονται· ἀγάπην δηλ. τοῦ ἑαυτοῦ, τὴν τοῦ πλησίον, καὶ τὴν τοῦ ὑψίστου Δημιουργοῦ.

## § ΟΗ΄.

Καὶ διὰ μὲν τὴν πρώτην ὑποχρεοῦται πάντοτε εἰς τὸ διατεθεῖσθαι καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχὴν οὕτω πως· ὥστε δύνασθαι ὀρθῶς χρῆσθαι ταῖς σεαυτοῦ σωματικαῖς καὶ ψυχικαῖς δυνάμεσιν· ὥστε τὸ μέρος τοῦτο τῆς ἠθικῆς, τὸ εἰς τὴν ἀγάπην τοῦ ἑαυτοῦ ἀναφερόμενον, εἰς δύο τινὰ ὑποδιαιρεῖται· καὶ τὸ μὲν ὡς πρὸς τὸ σῶμα ἀναγόμενον, ὑποχρεοῖ τὸν ἄνθρωπον εἰς τὴν τακτικὴν ἐνέργειαν τῶν σωματικῶν αὐτοῦ δυνάμεων, εἰς τὸ διατηρεῖν δηλ. τὸ ἑαυτοῦ σῶμα, οὕτω πως· ὥστε ἐπιτήδειον εἶναι, καὶ εἰς τὴν ἐκπλήρωσιν τῶν ψυχικῶν αὐτοῦ δυνάμεων, τὸ δὲ ὡς πρὸς τὴν ψυχὴν αὐτοῦ ἀναφερόμενον. ὑποχρεοῖ τὸν ἄνθρωπον εἰς τὸ τελειοποιεῖν τὰς ψυχικὰς αὐτοῦ δυνάμεις εἰς τὸ διευθύνειν δηλ, τὴν μὲν δύναμιν τοῦ αἰσθάνεσθαι, εἴτε τοῦ μανθάνειν, εἰς τὴν ἀλήθειαν· τὴν δὲ τοῦ βούλεσθαι, εἰς τὴν ἀρετήν.



## § ΟΘ΄.

Διὰ δὲ τὴν δευτέραν τὴν πρὸς τὸν πλησίον δηλ. ὑποχρεοῦται ὁ ὁ ἄνθρωπος εἰς μερικωτέραν δικαιοσύνην, καὶ εἰς τὴν φιλανθρωπίαν· ὅθεν καὶ καθῆκον εἰς τὸ λογικὸν τοῦτο ὄν, ὡς πρὸς τὸν πλησίον αὐτοῦ ἀναφερόμενόν ἐστιν, οὐ μόνον τὸ ἀποδοῦναι ἑκάστῳ ὅ,τι δήποτε αὐτῷ ἀνήκει, τὸ μὴ κωλύειν δηλ. αὐτόν, ἀπὸ τῆς ἐκπληρώσεως τῶν ἰδίων δικαιωμάτων, ἀλλὰ καὶ τὸ συνεργεῖν εἰς τὴν αὐτοῦ εὐδαιμονίαν διὰ τῆς εὐεργεσίας.

## § Π΄.

Διὰ τὴν τρίτην τελευταῖον, τὴν πρὸς τὸν Θεὸν δηλ. ἀναφερομένην, ὑποχρεοῦται ὁ ἄνθρωπος, ἵνα κατευθύνῃ τὰς σωματικὰς αὐτοῦ καὶ ψυχικὰς δυνάμεις πρὸς τὸ ὕψιστον ὄν· τουτέστιν, ἵνα εἰδὼς λατρεύῃ αὐτό· ἐκ τούτου δὲ ἐξάγονται τὰ καθήκοντα τῆς θρησκείας ἐν γένει, ἅπερ εἰς δύο διαιρεθῆναι δύνανται· εἰς ἐσωτερικὰ καὶ ἐξωτερικά, καὶ εἰς μὲν τὰ πρῶτα ἀνάγονται ἡ πίστις, ἡ ἐλπίς, ἡ ἀγάπη, κτλ. εἰς δὲ τὰ δεύτερα ἀναφέρονται ἡ ὁμολογία τοῦ ὑψίστου ὄντος καὶ ἐν γένει πᾶσαι αἱ φαινόμεναι ἱεραὶ πράξεις, δι' ὧν αἱ ἐσωτερικαὶ τοῦ ἀνθρώπου φανεροῦνται διαθέσεις, ὡς πρὸς τὸν Θεὸν ἀναφερόμεναι· καὶ τοιαῦτα τινα ἐν γένει εἰσί, τὰ τοῦ ἀνθρώπου δικαιώματα· τοιαῦτα δὲ καὶ τὰ καθήκοντα ὡς πρὸς ἑαυτόν, ὡς πρὸς τὸν πλησίον, καὶ ὡς πρὸς τὸν Θεὸν θεωρούμενα· ταῦτα δὲ πάντα, ὧν ἡ θεωρία τὸ ἀντικείμενόν ἐστι τῆς λεγομένης ἠθικῆς, ὡς δέον ἐκπληρούμενα, τὸν ἐν γένει δίκαιον, ἢ ἐνάρετον συναποτελοῦσιν ἄνθρωπον.

## § ΠΑ΄.

Ἐπειδὴ καὶ ὁ ἄνθρωπος δυνάμεις μόνας παρὰ τοῦ Δημιουργοῦ ἔλαβεν· καὶ ἐπειδὴ ἄνευ τῆς τῶν ἄλλων συναφείας, ἀδύνατόν ἐστι τὰς τοιαύτας τελειοποιῆσαι δυνάμεις· πρὸς δὲ τούτοις ἐπειδὴ καὶ χωρὶς τῆς τῶν ἄλλων συνενώσεως, οὐδέποτε, οὔτε τὰ αὐτοῦ δικαιώματα, οὔτε τὰ αὐτοῦ καθήκοντα, ὡς δέον ἐκτελοῦνται, ἀνάγκη ἐστιν, ἵνα μετά τινων ἄλλων συγκοινωνῶν, εἰς τὸ τέλος αὐτοῦ καθοδηγεῖται, καὶ ἰδοὺ ἡ αἰτία τῆς κοινωνικῆς τοῦ ἀνθρώπου ζωῆς· ἰδοὺ πῶς ὁποιαδήποτε πολιτεία, ὡς ἐξ αὐτῆς τῆς τοῦ ἀνθρώπου φύσεως, λαμβάνει τὴν ἀρχήν.

## § ΠΒ΄.

Εἰς ὁποιανδήποτε πολιτικὴν κοινωνίαν, τρία τινα ἀναγκαιότατα παρατηροῦνται, αἱ τέχναι δηλ., οἱ νόμοι, καὶ ἡ Ἠθική· καθότι διὰ

μὲν τῶν πρώτων τὰ μέσα εὑρίσκονται, δι' ὧν αἱ τοῦ ἀνθρώπου πληροῦνται χρεῖαι· διὰ δὲ τῶν δευτέρων ἡ ἀπαιτουμένη φυλάττεται ἁρμονία, καὶ διὰ τῆς τρίτης τελευταῖον οὐ μόνον ὁ ἐξωτερικός, ἀλλὰ καὶ ὁ ἐσωτερικὸς ἄνθρωπος, εἰς τὴν κοινωνίαν ἐπιτήδειος καθίσταται.

## § ΠΓ'.

Μεταξὺ δὲ τῶν εἰς τὴν κοινωνίαν ἀναγκαίων τεχνῶν, τὸν πρῶτον τόπον ἡ γεωργία ἐπέχει, καὶ ὅσαι εἰς τὴν ἀναγκαίαν ταύτην συντελοῦσι τέχνην· τὸν δεύτερον δὲ τὸ ἐμπόριον, τὸ τὴν γεωργίαν παρωτρύνον· αἱ δὲ λοιπαὶ τέχναι κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐπωφελεῖς ὑπάρχουσιν, ὡς πρὸς τὰς χρείας τοῦ ἀνθρώπου ἀναφερόμεναι.

## § ΠΔ'.

Καθὼς δὲ ὁ μερικὸς ἄνθρωπος, διὰ τῆς ὀρθῆς ἐκπληρώσεως τῶν αὐτοῦ δικαιωμάτων καὶ καθηκόντων, εἰς τὸ αὐτοῦ ὁδηγεῖται τέλος, οὕτω καὶ ὁ κοινωνικός, εἴτε ἡ κοινωνία ἐν γένει ἐθνικά τινα, καὶ πολιτικὰ ἔχει δικαιώματα, καὶ καθήκοντα, οἵων ὡς δέον ἐκπληρουμένων, καὶ τὸ τέλος τῆς τοιαύτης συνεκπληροῦται κοινωνίας, καὶ ἰδοὺ ἡ βάσις ὁποίων δήποτε νόμων· τουτέστιν ἡ διατήρησις, ἡ κτῆσις, ἡ τελειοποίησις, καὶ ἡ ἐλευθερία, καὶ τῶν μερῶν, καὶ τοῦ ὅλου ὁποιασδήποτε κοινωνίας.

## § ΠΕ'.

Ὁποιοιδήποτε δὲ πολιτικοὶ νόμοι, αἱ ἀναφοραί εἰσιν, ἡ τῶν μελῶν πρὸς τὰ μέλη ὁποιασδήποτε κοινωνίας· καὶ οὗτοι εἰς τὰ δικαιώματα, καὶ καθήκοντα τῶν μερικῶν ἐπιστηρίζονται· ἡ τῶν μελῶν πρὸς τὴν ὅλην κοινωνίαν, καὶ οὗτοι βάσιν ἔχουσι τὰ δικαιώματα, καὶ καθήκοντα, τῆς ὅλης κοινωνίας, ὑπὸ τῶν διοικούντων παρισταμένης, καὶ τῶν μελῶν αὐτῆς, ἡ τῆς ὅλης κοινωνίας, πρὸς ἑτέρας κοινωνίας, καὶ οὗτοι ὡς ἐκ τῶν ἐθνικῶν δικαιωμάτων, καὶ καθηκόντων λαμβάνουσι τὴν ἀρχήν· καὶ τοιαῦτα τινά εἰσιν, ἵν' οὕτως εἴπω, τὰ στοιχεῖα ὁποιασδήποτε κοινωνίας. Πρὸς τελειοποίησιν ὅμως αὐτῶν, ἀνάγκη ἐστιν, ἵνα καὶ αἱ λοιπαὶ γνώσεις συνέλθωσι· καθότι χωρὶς αὐτῶν, καὶ αἱ τέχναι μένουσιν ἀτελεῖς, καὶ τοῦ ἀνθρώπου αἱ δυνάμεις ἀνενέργητοι.

## § ΠϚ'.

Ἀλλ' ἆρα γε ἡ παροῦσα μόνη κοινωνία τὸ τέλος ἐστι δι' ὃ ἐπλάσθη ὁ ἄνθρωπος, καὶ διὰ ταύτης μόνης τὴν αὐτοῦ εὑρίσκει εὐδαιμονίαν; Τὸ τέλος ὁποιουδήποτε κτίσματος, ἀνάλογόν ἐστι ταῖς



αὐτοῦ ἰδιότησι· καθότι ἄλλως, αἱ ἰδιότητες αὗται μάταιαι ἔσονται· καὶ τότε ματαίως ὁ πάνσοφος Δημιουργός, εἰς τὰς τοιαύτας ἰδιότητας ὕπαρξιν ἔδωκεν· ὡς ἐκ τῶν τοῦ ἀνθρώπου λοιπὸν ἰδιοτήτων ὁδηγούμενοι, καὶ τὸ τέλος αὐτοῦ ὁποῖον ἐστιν εὑρεῖν δυνησόμεθα.

## § ΠΖ'.

Ἐὰν τὴν τοῦ μανθάνειν ἰδιότητα, τοῦ λογικοῦ τούτου ὄντος ἐξετάσωμεν, εὑρίσκομεν ὅτι ἡ τοιαύτη αὐτοῦ δύναμις, οὐ μόνον οὐδεμίαν εἰς τὸν παρόντα βίον, δέχεται ἐκπλήρωσιν· ἀλλὰ καὶ εἰς μυρίας δι' αὐτῆς ἐτραχηλίζεται ἀπάτας ὁ ἄνθρωπος· ἐὰν δὲ καὶ τὴν τοῦ ἐφίεσθαι δύναμιν παρατηρήσωμεν, μανθάνομεν, ὅτι οὐδεμία τοῦ παρόντος βίου ἀπόλαυσις, καταπαῦσαι ταύτην δύναται· καθότι ὅσον ὁ ἄνθρωπος μανθάνει, τοσοῦτον καὶ ἡ τοῦ εἰδέναι ἔφεσις αὐξάνει· ὅσον ἀπολαμβάνει, τοσοῦτον περισσότερον ἐπιθυμεῖ, καὶ οὐδὲν ἐπὶ γῆς τοσοῦτον ἐστι μέγα, ἢ λαμπρόν· ὅπερ μετὰ παρέλευσιν χρόνου, οὐ μικρὸν καὶ ἀμαυρὸν εἰς τὸν ἄνθρωπον φαίνεται πνεῦμα. Ὅθεν βεβαιούμεθα, ὅτι τὰ ἐπίγεια πάντα καὶ πάντα τὰ εἰς τὸν βίον τοῦτον ἀπολαμβανόμενα οὐδεμίαν ἔχουσιν ἀναλογίαν, ὡς πρὸς τὰς δυνάμεις τοῦ ἀνθρώπου ἀναφερόμενα.

## § ΠΗ'.

Ἐὰν δὲ εἰς τὸν παρόντα τοῦ ἀνθρώπου ἀποβλέψωμεν βίον, καταλαμβάνομεν, ὅτι οὐ μόνον οὐδόλως τὴν αὐτοῦ εὑρήσει εὐδαιμονίαν, ἀλλὰ καὶ εἰς μυρίας περιπίπτει δυστυχίας· καθότι βλέπομεν ὅτι ὁ δυνατὸς ἐν γένει καταδυναστεύει τοῦ ἀδυνάτου, ὅτι ὁ ἄδικος ὑπερισχύει τοῦ δικαίου, ὅτι βραβεύεται μὲν πολλάκις ἡ κακία, κατατρέχεται δὲ ἡ ἀρετή, ὅτι μυρίαι ἀπάται, ἀναρίθμητοι ἀσθένειαι, μάχαι, διαβολαὶ κατατρύχουσι τὸν δυστυχῆ ἄνθρωπον εἰς τὸν πολυώδυνον τοῦτον βίον καὶ οὕτως ἀποκαθιστῶσιν αὐτὸν ἀθλιώτατον πάντων τῶν ὄντων εἰς τὴν κοιλάδα ταύτην τοῦ κλαυθμῶνος.

## § ΠΘ'.

Καὶ ὅταν λοιπὸν εἰς τὸν παρόντα βίον αἱ τοῦ ἀνθρώπου δυνάμεις κεναὶ μένουσιν· ὅταν ἀντὶ εὐδαιμονίας, εἰς δυστυχίας περιπίπτει, ὅταν ἡ παροῦσα, ἵν' οὕτως εἴπω, ἀκαριαία ζωή, μηδόλως ἀναλογῇ ταῖς τοῦ ἀνθρώπου ἰδιότησι· δῆλον ὅτι θάτερον τῶν δύο ἀληθὲς ἐστίν, ἢ ὅτι αἱ ἰδιότητες αὗται τοῦ ἀνθρώπου ματαίως αὐτῷ ἐδόθησαν καὶ ὅτι οὗτος ἐπὶ τῷ δυστυχεῖν μόνον ἐπλάσθη, ἢ ὅτι μετὰ τὸν παρόντα βίον καὶ ἕτερος ἐστὶν ἀτελεύτητος αἰών, εἰς ὃν καὶ αἱ δυνάμεις τοῦ λογικοῦ τούτου κτίσματος ἀποπληρωθήσονται

καὶ τῆς ἀναλογούσης αὐτῷ εὐδαιμονίας μέτοχον γενήσεται· ἀλλὰ τὸ πρῶτον εἰς τὰ θεῖα προσόντα ἐναντιούμενον ψευδέστατόν ἐστιν, ὥστε τὸ δεύτερον τῇ σοφίᾳ καὶ ἀγαθότητι αὐτοῦ σύμφωνον ὑπάρχον ἀληθέστατον ἔσεται.

§ ϟ'.

Ἐὰν δὲ παρατηρήσωμεν πρὸς τούτοις, ὅτι ὁ ἄνθρωπος ἐν γένει οὐ μόνον ἐννοῆσαι δύναται μέλλοντα αἰῶνα, ἀλλὰ καὶ ἔχει πραγματικῶς μελλούσης ζωῆς, καὶ ὅτι ἀδύνατόν ἐστι τὴν τοιαύτην παρὰ τοῦ Δημιουργοῦ λαβεῖν δύναμιν, ἐπὶ τῷ ἐξαπατηθῆναι μόνον παρ' αὐτοῦ, βεβαιούμεθα, ὅτι ἐστιν ἀληθῶς μέλλων τις αἰών, καθ' ὃν αἱ δυνάμεις τοῦ ἀνθρώπου ὡς δέον ἐκπληρούμεναι, εὐδαίμονα τῳόντι τοῦτον καταστήσουσι.

§ ϟΑ'.

Ἀλλ' εἰ μέλλων τίς ἐστι βίος, εἰ μετὰ θάνατον ὁ ἄνθρωπος τὴν ἑαυτοῦ εὑρίσκει εὐδαιμονίαν, τίνι τρόπῳ εἰς ἐκεῖνον ἐκ τούτου ὁδηγηθήσεται καὶ τίς αὐτοῦ ἀσφαλὴς ὁδηγὸς ἔσεται· καὶ ἐνταῦθα βεβαιούμεθα ὅτι πάντως προσῆκον ἐστιν εἰς τὴν ἀγαθότητα τοῦ ὑψίστου ἐκείνου ὄντος, τοῦ μόνου τὰ μέλλοντα εἰδότος, καὶ τὰς τοιαύτας δυνάμεις τῷ λογικῷ αὐτοῦ δόντος κτίσματι, ἵνα καὶ ὁδηγεῖ φωτίζων, καὶ ἐνισχύει ὑποστηρίζων, καὶ εἰσάγει ἀσφαλῶς εἰς τὸν μέλλοντα ἐκεῖνον αἰῶνα καὶ μέτοχον τῆς ἀλήκτου ἐκείνης ἀποκαθιστᾷ εὐδαιμονίας, τὸ πρὸς ἐπίτευξιν αὐτῆς, ὑπ' αὐτοῦ Δημιουργηθὲν λογικὸν τοῦτο Δημιούργημα· ὅθεν μανθάνομεν τὴν ἀνάγκην θείας τινος ἀποκαλύψεως ἀσφαλῶς εἰς τὴν ἀγήρω ἐκείνης ὁδηγούσης τὸν ἄνθρωπον μακαριότητα.

ϟΒ'.

Καὶ τοιαῦται τινες εἰσι, καὶ αἱ ἐπιστημονικαὶ κληθεῖσαι γνώσεις· τούτων δὲ τὴν περὶ τῆς ψυχῆς πραγματευομένην καὶ περὶ τῶν λοιπῶν κισμάτων ἐν γένει διαλαμβάνουσι· πρὸς δὲ καὶ τὰ περὶ τὸν Δημιουργὸν θεωροῦσα Μεταφυσικήν τινες ὀνομάσαντες, ἐν τῇ Λογικῇ, καὶ Ἠθικῇ ταύτην ἑνώσαντες, **Φιλοσοφίαν** ἐν γένει ἐκάλεσαν.

§ ϟΓ'.

Ἐκ τῶν μέχρι τοῦδε ῥηθέντων, μανθάνομεν ὅτι ἅπασαι τοῦ ἀνθρώπου αἱ γνώσεις, ἢ περὶ τὸ γινῶσκον θεωροῦνται, καὶ ταύτας λαμβάνει τὰς δυνάμεις παρατηρῶν, δι' ὧν καὶ ἑαυτὸν καὶ τὰ λοιπὰ ἐξετάζει ὄντα, ἢ περὶ τὰ γινωσκόμενα, καὶ ταῦτα συνίστησιν, ἢ ἐξιστορῶν μόνον τὰς ἰδιότητας αὐτῶν, καὶ τὰς ἱστορικὰς ἐκτελῶν γνώσεις ἢ μιμούμενος αὐτάς, καὶ τὰς μιμητικὰς παράγων, ἢ τελευταῖον καὶ τὴν αἰτίαν αὐτῶν ἐρευνῶν καὶ τὰς ἐπιστημονικὰς συναπαρτίζων.



§ ϟΔ'.

Καὶ τοιαῦται τινες ἅπασαι αἱ τοῦ ἀνθρώπου γνώσεις ἐν γένει ὑπάρχουσιν ὧν οὐ μόνον ἕκαστον γένος, ἀλλὰ καὶ ἕκαστον εἶδος ἀντικείμενον μερικωτέρας καὶ πραγματείας καὶ ἕξεως γίνεται.

# ΦΙΛΟΣΟΦΙΑΣ

## ΚΕΦΑΛΛΙΟΝ Α'.

### § Α'.

***Τὴν Φιλοσοφίαν*** τινὲς μὲν γνῶσιν θείων καὶ ἀνθρωπίνων ὠνόμασαν· τινὲς δὲ γνῶσιν τῶν ὄντων, ᾗ ὄντα· καὶ ἄλλοι μὲν γνῶσιν τῶν δυνατῶν, ᾗ δυνατά· ἄλλοι δὲ ὁμοίωσιν Θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· ἔστι δὲ γνῶσις ἐπιστημονικὴ τῆς ἀπολύτου ὡς πρὸς τὰ ὄντα ἁρμονίας τῶν τοῦ ἀνθρώπου δυνάμεων, ἡ γνῶσις ἐν γένει τοῦ ἀληθοῦς καὶ πρᾶξις τοῦ ἀγαθοῦ· ἀντικείμενον δὲ αὐτῆς ***ὁ Θεός, ὁ Κόσμος καὶ ὁ Ἄνθρωπος***· ἢ βέλτιον αὐτὸς ***ὁ Θεὸς*** καὶ ἡ κατ' αὐτὸν διαβίωσις· σκοπὸς δὲ κύριος ἡ τοῦ ἀνθρώπου ***εὐδαιμονία.***

### § Β'.

Μέρη δὲ τῆς ***φιλοσοφίας*** ἀριθμοῦνται τὸ λογικόν, ἢ ἡ λογική, ἡ τὸ διανοεῖσθαι θεωροῦσα· ***ἡ Μεταφυσική***, ἡ τὴν ὕλην τῶν περὶ ἃ τὸ διανοεῖσθαι περιστρέφεται ἀντικείμενον ἔχουσα· καὶ ἡ Ἠθική, ἡ τὰ πρακτέα διερευνῶσα. Ἐπειδὴ δὲ καὶ πρὸ τούτων ἀνάγκη τὰς δυνάμεις γινώσκειν, δι' ὧν ἡ ψυχὴ τὰς ἑαυτῆς διενεργεῖ ἐνεργείας· καὶ τέταρτον μέρος τούτων προτάττεται περὶ τῶν τοιούτων διαλαμβάνον δυνάμεων, ὅπερ ***ψυχολογία, ἢ ἀνθρωπολογία*** παρά τινων ὀνομάζεται.

### § Γ'.

***Ἡ φιλοσοφία*** ὡς καὶ πᾶσα ἐπιστήμη καὶ τέχνη ἔλαβε τὰς ἐπιστημονικάς, ἢ λογικὰς αὐτῆς ἀρχάς· κυρίως μὲν παρὰ τοῖς εὐκλεῶς τὸ πάλαι παρὰ τοῖς προγόνοις ἡμῶν φιλοσοφήσασιν. Ἐπειδὴ δὲ καὶ πρὸ τούτων ἱστοροῦνται καὶ ἄλλοι παρὰ τοῖς λοιποῖς ἔθνεσι φιλοσοφήσαντες, ἴδωμεν τὰ περὶ τῆς φιλοσοφίας αὐτῶν ἱστορούμενα.

### § Δ.'

Καὶ πρῶτον παρὰ τοῖς Βαβυλωνίοις, ἢ Ἀσσυρίοις οἱ Χαλδαῖοι



φιλοσοφῆσαι φαίνονται, παρὰ τοῦ Ζωροάστρου λαβόντες τὰς ἀφορμάς. Ἐφρόνουν δὲ ὅτι ἐκ τοῦ Θεοῦ τὸ πῦρ ἐπήγασε καὶ τὸ φῶς, ἐξ ὧν διαφόρους τριάδας οὐσιῶν ἀρχὴν λοβεῖν ἐδογμάτιζον.

### § Ε'.

Παρὰ δὲ τοῖς Πέρσαις οἱ Μάγοι φιλοσοφῆσαι λέγονται, δύο τινας τῶν πραγμάτων δοξάσαντες ἀρχάς· τὴν μέν, τοῦ ἀγαθοῦ, ἣν Ὡρομάσδην ὠνόμασαν, τὴν δέ, τοῦ κακοῦ, ἣν Ἀριμάνην ἐκάλεσαν· καὶ τρίτον μεταξὺ αὐτῶν Μίθραν αὐτὴν προσαγορεύσαντες. Ἔλαβον δὲ τὰ δόγματα ταῦτα οἱ Μάγοι παρά τινος Ζωροάστρου ἑτέρου παρὰ τὸν Βαβυλώνιον· σώζεται δὲ καὶ τὴν σήμερον παρὰ τοῖς ἀνατολικοῖς ἔθνεσι φυλὴ ἡ τῶν Γέβρων ὀνομαζομένη τὰ αὐτὰ τοῖς Μάγοις δοξάζουσα, καὶ τοὺς Ἀστέρας, τὸν Ἥλιον, τὸ πῦρ, ὡς οἱ παλαιοὶ Πέρσαι θρησκευτικαῖς τιμαῖς ἐκθειάζουσα.

### § Ϛ'.

Μάγοι καὶ παρὰ τοῖς Ἄραψι φιλοσοφῆσαι ἱστόρηνται· εἶχον δὲ καὶ οὗτοι τὰς αὐτὰς ταῖς τῶν Περσῶν δόξαις.

### § Ζ'.

Καὶ παρὰ τοῖς Αἰγυπτίοις ἱερεῖς καὶ Μάγοι τῇ τῶν ὄντων θεωρίᾳ ἐνασχοληθῆναι λέγονται· τούτων δὲ πρώτιστος Ἑρμῆς ὁ τρισμέγιστος προσαγορευθείς, καὶ μετ' αὐτὸν ἕτερος τῷ αὐτῷ ὀνόματι ἐπονομασθείς· ἀποδίδοται δὲ τοῖς Αἰγυπτίοις καὶ ἡ τῆς Γεωμετρίας εὕρεσις.

### § Η'.

Παρὰ τῶν Αἰγυπτίων καὶ οἱ Ἑβραῖοι τὰς τῆς φιλοσοφίας ἔλαβον ἀρχάς· ἀλλ' οὐδόλως ἢ μικρὸν εἰς αὐτὴν προοδεῦσαι φαίνονται· εἶτα δὲ καὶ παρὰ τῶν Ἑλλήνων οὐκ' ὀλίγα λαβόντες, τῆς παρ' αὐτοῖς φιλοσοφουμένοις ἀνέμιξαν· ὅθεν καὶ οἱ παρ' αὐτοῖς φιλοσοφήσαντες εἰς τὰς αὐτὰς ταῖς τῶν Ἑλλήνων διηρέθησαν αἱρέσεις· διότι οἱ μὲν Φαρισσαῖοι, τὰ τῶν Στωϊκῶν ἢ Κυνικῶν πρεσβεύειν λέγονται· οἱ δὲ Σαδδουκαῖοι, τὰ τῶν Ἐπικουρείων· καὶ οἱ Ἐσσηνοί, τὰ τῶν Πυθαγορείων· μετὰ δὲ τούτους παρ' αὐτοῖς οἱ Καββαλισταί, τὰ τῶν Πλατωνικῶν, Πυθαγορικῶν ἀναμίξαντες, ὡς φιλοσοφοῦντες ἐνομίσθησαν.

### § Θ'.

Σαγχονιάθων δὲ Ὦχος ἢ Μόχος ἢ Μόσχος, ὁ τὰ ἄτομα ἐπινοῆσαι

ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ

λεγόμενος, φιλοσοφοῦντες ἐκλεΐσθησαν παρὰ τοῖς Φοίνιξιν· παρ' οἷς καὶ τὰ γράμματα πρῶτον εὑρεθῆναι λέγεται.

§ Ι'.

Βραχμάνες δέ, ἢ Γυμνοσοφισταὶ παρὰ τοῖς Ἰνδοῖς ἐφιλοσόφησαν τὰ αὐτὰ σχεδὸν τοῖς Χαλδαίοις φρονοῦντες, καὶ τὴν μετεμψύχωσιν πρεσβεύοντες.

§ ΙΑ'.

Σῖναι δὲ ἢ Κίνες τῷ Κομφυκίῳ σεμνύνονται, ὅστις τὰ αὐτὰ σχεδὸν τοῖς Γυμνοσοφισταῖς ἐπρέσβευε δόγματα.

§ ΙΒ'.

Καὶ παρὰ μὲν τοῖς Θρᾳξίν, ὁ Ὀρφεύς· παρὰ δὲ τοῖς Γερμανοῖς καὶ Γάλλοις, οἱ Δρυΐδαι· παρὰ δὲ τοῖς Βρεττανοῖς, οἱ Βάρδαι· καὶ παρὰ τοῖς Μαυριτανοῖς, ὁ Ἄτλας· ὡς ἐνασχοληθέντες τῇ τῶν ὄντων θεωρίᾳ παρὰ τοῖς παλαιοῖς ἀναφέρονται. Ἀλλὰ τούτων ἁπάντων τὰ περὶ τὴν φιλοσοφίαν δόγματα ἄγνωστα διόλου εἰσὶ καὶ ἀβέβαια.

§ ΙΓ'.

Καὶ ταῦτα μὲν τῶν παρὰ τοῖς λοιποῖς ἔθνεσι φολοσοφῆσαι λεγομένων· παρὰ δὲ τοῖς Ἕλλησι δύο κυρίως ἐγένοντο αἱ ἀρχικαὶ περὶ τὴν φιλοσοφίαν αἱρέσεις· ἥ τε Ἰωνικὴ λεγομένη, ἧς ἀρχηγὸς Θαλῆς ὁ Μιλήσιος, καὶ ἡ Πυθαγορική, ἢ Ἰταλική, ἧς Πυθαγόρας προέστη ὁ Σάμιος· ἐξ ὧν αἱ λοιπαὶ πᾶσαι προέκυψαν τῆς φιλοσοφίας αἱρέσεις· ἀλλὰ καὶ πρὸ αὐτῶν ποιητική τις φέρεται φιλοσοφία, καὶ ἄνδρες ἐπὶ σοφίᾳ καὶ ἀρετῇ περιβόητοι τοῖς τῶν σοφῶν ἐκλεΐσθησαν ὀνόμασιν.

§ ΙΔ'.

Καὶ τῆς μὲν ποιητικῆς φιλοσοφίας, παρ' Ἀθηναίοις μέν, Μουσαῖον τὸν Εὐμόλην προσθῆναι λέγεται· παρὰ δὲ Θηβαίοις, Λίνον τὸν Ἑρμοῦ· μετὰ δὲ τούτους Ὀρφέα τὸν Θρᾶκα ἀκμᾶσαι ἱστόρηται· μεθ' οὓς Ὅμηρον καὶ Ἡσίοδον ἐμμέτρως φιλοσοφήσαντας.

§ ΙΕ'.

Ἄνδρες δὲ ἐπὶ σοφίᾳ διαβόητοι φέρονται οἱ ἑπτὰ ὀνομασθέντες σοφοί· ἐν οἷς πρῶτόν τινες λέγουσι Θάλητα τὸν Μιλήσιον, τὸν κατὰ τὴν ΛΕ'. γεννηθέντα Ὀλυμπιάδα, ἀρχηγὸν δὲ τῆς Ἰωνικῆς γενόμενον αἱρέσεως· δεύτερον δὲ ἀριθμοῦσι Σόλωνα τὸν Ἐξηκεστίδου Σαλαμίνιον, κατὰ τὴν κϛ'. Ὀλυμπιάδα ἀκμάσαντα· τρίτον Χείλωνα Δαμαγήτου τὸν Λακεδαιμόνιον, ὅστις κατὰ τὴν νϛ'. ἤκμασεν Ὀλυμπιάδα· τέταρτον Πιττακὸν Ὑρράδίου τὸν Μιτυληναῖον τὸν περὶ μβ'. Ὀλυμπιάδα ἀκμᾶσαι λεγόμενον· πέμπτον Βίαντα Τευτάμου τὸν Πριηνέα· ἕκτον Κλεόβουλον Εὐαδόρου τὸν Πλίνδιον· ἕβδομον Περίανδρον Κυψέλου τὸν Κορίνθιον, τὸν περὶ τὴν λή. ἀκμάσαντα Ὀλυμπιάδα.



§ ΙϚ'.

Τοῖς ἑπτὰ τούτοις ὀνομασθεῖσι σοφοῖς, καὶ Ἀνάχαρσιν τὸν Γνούρου ἀδελφὸν δὲ Καθοΐδου τοῦ Σκυθῶν βασιλέως συγκατέταξάν τινες καὶ Μύσωνα τοῦ Στρέμωνος, καὶ Ἐπιμενίδην τὸν Κρῆτα, καὶ Φερεκύδην τὸν Σύρον ἢ Σύριον, καὶ ἄλλους οὐκ ὀλίγους· τούτους δὲ ἅπαντας τοὺς σοφοὺς κυρίως ἢ **φιλοσόφους**, οὐδὲ τῇ τῶν ὄντων θεωρίᾳ ἐνασχοληθέντας, συνετοὺς δέ τινας καὶ νομοθετικοὺς γενέσθαι ὑπολαμβάνουσιν· ἀλλὰ περὶ μὲν τῶν λοιπῶν, ὁ τούτων λέγων ἴσως ἀληθεύειν νομισθήσεται· περὶ δὲ Θάλητος καὶ Φερεκύδου οὐδόλως· διότι ἀπὸ μὲν τοῦ πρώτου ἡ Ἰωνικὴ ἤρξατο αἵρεσις· ὁ δὲ δεύτερος Πυθαγόρου τοῦ τῆς Ἰταλικῆς αἱρέσεως ἀρχηγοῦ ὑπῆρξε διδάσκαλος.

§ ΙΖ'.

Θαλῆς ὁ Μιλήσιος κατά τινας μὲν Φερεκύδου τοῦ Σύρου καὶ αὐτὸς ἀκοῦσαι λέγεται· κατά τινας δ' ὑφ' ἑτέρου τινὸς τὰς ἀρχὰς τῆς φιλοσοφίας λαβεῖν· τὸ πλεῖστον δὲ τοῦ βίου μέρος σοφίας χάριν εἰς ξένην καταδαπανήσας γῆν, εἰς τὴν ἰδίαν ἐπέστρεψε πατρίδα καὶ τὴν Ἰωνικὴν συνεστήσατο αἵρεσιν.

§ ΙΗ'.

Τοῦτον διαδέχεται Ἀναξίμανδρος ὁ Μιλήσιος, ὁ τὰ ὡροσκόπια καὶ τὰς σφαίρας, καὶ τοὺς Γεωγραφικοὺς ἐπινοήσας πίνακας, καὶ τὴν λόξωσιν τοῦ Ζωδιακοῦ κύκλου καὶ τὰς Ἰσημερίας παρατηρήσας.

§ ΙΘ'.

Τούτου διάδοχος ἐγένετο Ἀναξαγόρας ὁ Κλαζομένιος, ὁ νοῦς προσαγορευθείς. Ἀναξαγόραν δὲ διεδέξατο Ἀρχέλαος, οὗ καὶ Σωκράτης διήκουσε.

§ Κ'.

Περὶ τὸ φυσικὸν δὲ τῆς φιλοσοφίας μέρος τῆς αἱρέσεως ταύτης

όπαδοὶ ἐνασχοληθέντες φαίνονται· ὅθεν καὶ φυσικοὶ κυρίως προσηγορεύθησαν· καὶ ὁ μὲν Θαλῆς ἐξ ὕδατος τὰ πάντα γενέσθαι ἐδόξαζεν· ὁ δὲ Ἀναξίμανδρος ἐκ τῆς φύσεως τοῦ ἀπείρου· καὶ ὁ μὲν Ἀναξιμένης τὸν ἀέρα· ὁ δὲ Ἀναξαγόρας τὰς ὁμοιομερείας ἀρχὰς τῶν ὄντων ἔλεγεν· ἐφεῦρον δὲ οἱ τῆς αἱρέσεως ταύτης καὶ πολλὰ τῆς Γεωμετρίας θεωρήματα περί τε τῶν ἄστρων, καὶ μετεώρων, καὶ ἄλλων τῶν ἐν τῇ φύσει συμβαινόντων ἐφιλοσόφησαν καὶ τὸ ἀθάνατον τῆς ψυχῆς ἐδέχοντο.

## § ΚΑ'.

Ὁ δὲ Σωκράτης, ἐξ οὗ ἡ νέα τῆς Ἰωνικῆς αἱρέσεως ἄρχεται περίοδος, κατὰ τὴν νζ'. γεννηθεὶς Ὀλυμπιάδα· πατέρα μὲν εἶχε Σωφρονίσκον τὸν Λιθοξόον· μητέρα δὲ Φαιναρέτην τὴν μαῖαν· καὶ πρῶτον μὲν τῇ τοῦ πατρὸς προσέσχε τέχνῃ· εἶτα δὲ τοῦ Ἀρχελάου ἀκούσας τὴν φιλοσοφίαν, καὶ μάλιστα τὸ ἠθικὸν αὐτῆς μέρος περὶ παντὸς ἠγάπησεν.

## § ΚΒ'.

Ἐδίδασκε δὲ Σωκράτης ἐν τῷ οἴκῳ, καὶ ἐν ἀγορᾷ μετὰ τῶν ἑταίρων διαλεγόμενος· ὕστερον δὲ ὑπὸ Ἀνύτου καὶ Μελίτου κατηγορηθεὶς τὸ κώνειον ἔπιε.

## § ΚΓ'.

Τὸ ἠθικὸν τῆς φιλοσοφίας μέρος ἀσπασάμενος ὁ Σωκράτης καὶ περὶ Θεοῦ Δημιουργοῦ τῶν ἁπάντων καὶ περὶ Θείας προνοίας, καὶ περὶ ἀθανασίας ψυχῆς, εἴπερ τις ἄλλος ἐφιλοσόφησεν· οὐδὲν δὲ αὐτοῦ φέρεται σύγγραμμα· ὅσα δὲ περὶ αὐτοῦ γινώσκονται παρὰ Ξενοφῶντος καὶ Αἰσχίνου καὶ Πλάτωνος παραλαμβάνονται.

## § ΚΔ'.

Εἰ καὶ πολλοὶ ὑπῆρξαν οἱ τοῦ Σωκράτους ἀκροασάμενοι, ἀρχηγοὶ ὅμως αἱρέσεων οἱ ἑξῆς γενέσθαι λέγονται· δηλ. Ἀρίστιππος μὲν τῆς Κυρηναϊκῆς· Φαίδων δὲ τῆς Ἠλειακῆς· Εὐκλείδης τῆς Μεγαρικῆς· Πλάτων τῆς Ἀκαδημιακῆς· καὶ Ἀντισθένης τῆς Κυνικῆς.

## § ΚΕ'.

Καὶ ὁ μὲν Ἀρίστιππος ὁ τῆς Κυρηναϊκῆς αἱρέσεως ἀρχηγός, πάντα εἰς τὴν σωματικὴν ἀνέφερεν ἡδονήν, ἀρχὴν αὐτήν, καὶ τοῦ βίου, καὶ τῆς διδασκαλίας προϋστησάμενος· τοῦτον Ἀρήτη ἡ θυγάτηρ αὐτοῦ διεδέξατο, ἥτις τὴν διαδοχὴν Ἀριστίππῳ τῷ υἱῷ αὐτῆς, ὅστις καὶ Μητροδίδακτος ἐπεκλήθη, διέδωκε· τούτου δὲ διάδοχος ἐγένετο Θεόδωρος ὁ Ἄθεος ἐπονομασθείς, ᾧ τινι Ἐπιτεμίδης ἐπηκολούθησεν, ὁ ὑπὸ Βίωνος διαδεχθείς· τοῦτον δὲ Παραιβάτης διεδέξατο, οὗ Ἡγησίας ὁ Πεισιθάνατος, καὶ Ἀννίκερις ἠκροάσαντο· ἐξ ὧν ἡ Ἡγησιακὴ καὶ Ἀννικέριος ἀνεφύη αἵρεσις.



## § ΚϚ'.

Οὗτοι πάντες τὴν εὐδαιμονίαν ἐν τῇ σωματικῇ ἔθεντο ἡδονῇ· ὅθεν καὶ τὰς σωματικὰς δυνάμεις τῶν ψυχικῶν προετίμων· τὴν δ' ἀρετὴν ὡς ἡδονῆς πρόξενον ἐπαινετέαν εἶναι ἔλεγον· φύσει δὲ καὶ καθ' αὑτὸ μηδὲν εἶναι δίκαιον, τίμιον ἢ ἄτιμον ἐδόξαζον.

## § ΚΖ'.

Φαίδων δὲ ὁ Ἠλεῖος, ὁ τὴν Ἠλειακὴν αἵρεσιν συστησάμενος, Πλειστάνην καὶ Μενέδημον καὶ Ἀσκληπιάδην διαδόχους κατέλιπεν, οὓς τοῦ Σωκράτους μιμητὰς γενέσθαι λέγουσιν, ἓν μόνον τὸ ἀγαθόν, τὴν ἀρετὴν καὶ ταύτην μίαν εἶναι δοξάσαντας.

## § ΚΗ'.

Ἡ δὲ Μεγαρικὴ αἵρεσις ὑπὸ τοῦ προστατεύοντος αὐτῆς Εὐκλείδου τοῦ Μεγαρέως οὕτω προσηγορεύθη. Τοῦτον Εὐβουλείδης διεδέχθη, οὗτινος διάδοχος ἐγένετο Ἀλεξῖνος (1). Τοῦτον δὲ Εὔφαντος, ὃν Ἀπολλώνιος, ὁ τὴν διαδοχὴν Διοδώρῳ ἐγκαταλιπών, ὃν Στίλπων διεδέξατο.

## § ΚΘ'.

Ἀλλ' οὗτοι πάντες περὶ τὴν λογικὴν ἐνασχοληθῆναι λέγονται· ὅθεν καὶ διαλεκτικοὶ καὶ Ἐριστικοί, καὶ Ἐλεγξῖνοι ἐκλήθησαν, ὧν τὴν σχολὴν Διογένης, χολὴν μᾶλλον καλεῖν, ἢ σχολὴν δέον εἶναι ἔλεγεν.

## § Λ'.

Τούτων δὲ πάντων, Πλάτων ὑπερέβη ὁ δαιμόνιος, ὁ τῆς Ἀκαδημιακῆς αἱρέσεως ἀρχηγὸς γενόμενος· ἦν δὲ Ἀρίστωνος καὶ Περικτιόνης, ἢ Ποτόνης υἱός· τὸ γένος ἀναφέρων εἰς Σόλωνα, Ἀριστοκλῆς μὲν πρότερον καλούμενος, Πλάτων δὲ ὕστερον ἐπονομασθείς.

---

1) Ἐχθρὸς ἄσπονδος τῶν Στωϊκῶν.

§ ΛΑ΄.

Οὗτος μετὰ τὸ ἀκοῦσαι Σωκράτους, εἰς Αἴγυπτον ἀπεδήμησε, καὶ τῶν τοῦ Πυθαγόρου καὶ Ἡρακλείτου δογμάτων οὐκ ἄγευστος ἐγένετο καὶ πρῶτον μὲν ἐν τῷ Γυμνασίῳ τῆς Ἀκαδημίας ἐδίδασκεν ἐπὶ τοῦ ὑπερθύρου αὐτοῦ ἐπιγράψας «*μηδεὶς ἀγεωμέτρητος εἰσίτω*·» εἶτα δὲ εἰς τὸν ἐν Κολωνῷ μετέβη κῆπον.

§ ΛΒ΄.

Πλάτων, Θεόν, πρώτην τῶν ὄντων *αἰτίαν*, κατὰ τὰς ἰδέας τὰ *αἰώνια* δηλ. τῶν *κατὰ φύσιν γενομένων παραδείγματα*, τὰ πάντα δημιουργήσαντα, ἀΐδιον, ἀγαθόν, ἄρρητον, καὶ ἀσώματον ἐδόξαζε· τὴν δὲ πρώτην ὕλην προϋπάρχειν καὶ αὐτὴν ἔλεγε, πάντων μὲν τῶν ὄντων τὰς γενέσεις ἀναδέχεσθαι δυναμένην, παντὸς δὲ εἴδους ἐστερημένην· τὸν δὲ κόσμον ἔμψυχον ἐφρόνει, ψυχὴν ἔχοντα καὶ αὐτὸν *ἀΐδιον*, κατὰ τὴν τοῦ Θεοῦ πρόνοιαν τὰ πάντα διευθύνουσαν.

§ ΛΓ΄

Καὶ τὴν μὲν φιλοσοφίαν, κατὰ μὲν τὴν ὕλην, γνῶσιν τῶν καθόλου καὶ ἀναγκαίων, καὶ τῆς οὐσίας καὶ σχέσεως πάντων ἐδόξαζε· κατὰ δὲ τὸ εἶδος ἐπιστήμην· τὴν δὲ ἄκραν εὐδαιμονίαν, ἐν τῇ τοῦ Θεοῦ ὁμοιώσει ἐτίθετο· ἀρετὰς δὲ ἀπεδέχετο τέσσαρας, φρόνησιν, σωφροσύνην, δικαιοσύνην, καὶ ἀνδρείαν· τὸν δὲ ἄνθρωπον ἐμφύτους ἔχειν ἰδέας, καὶ ταύτας πάσης διανοίας βάσεις οὔσας ἔλεγε.

§ ΛΔ΄.

Τῆς Ἀκαδημιακῆς *αἱρέσεως*, τέσσαρες κυρίως ὑπῆρξαν *αἱ διάφοροι ἐποχαί*, αἵτινες καὶ τέσσαρες Ἀκαδημίαι ὠνομάσθησαν· Ἀρχαία, Μέση, Νέα καὶ Ἐσχάτη προσαγορευθεῖσαι.

§ ΛΕ΄.

Καὶ ἡ μὲν πρώτη ἀπὸ Πλάτωνος ἀρξαμένη, μέχρι Κράντορος ὑπῆρξε τοῦ Σολέως· τῆς δὲ δευτέρας ἢ μέσης, Ἀρκεσίλαος ἐγένετο ἀρχηγός.

§ ΛϚ΄.

Καὶ κατὰ μὲν τὴν Νέαν Καρνεάδης ὁ Κυρηναῖος ὁ ταύτης ἡγησάμενος· καὶ Κλειτόμαχος ὁ Καρχηδόνιος· καὶ Φίλων ὁ Λαρισσαῖος διέπρεψαν. Τῆς δὲ Ἐσχάτης Φίλωνα ἡγήσασθαι λέγουσιν, οὗ καὶ Κικέρων διήκουσε, καὶ Χαρμίδας, καὶ Ἀντίοχος ὁ τὴν ἀρχαίαν Ἀκαδημίαν ἀναστῆσαι σπουδάσας, δι' ὧν καὶ πέμπτη τις Ἀκαδημία ταῖς πρώταις τέσσαρσι συγκαταλέγεται.



§ ΛΖ΄.

Τούτων δὲ τῶν Ἀκαδημιῶν τὰς διαφοράς, ἡ περὶ βεβαιότητος τῶν ἀνθρωπίνων γνώσεων διάφορος ἐγέννησε δόξα· διότι ὁ μὲν Πλάτων τὰς διὰ τῶν αἰσθήσεων λαμβανομένας γνώσεις, δοξαστὰς εἶναι ἔλεγε· μόνας δὲ ἐπιστημονικὰς ἢ ἐπιστήμας, τὰς διὰ μόνον τῶν κατὰ ψυχὴν ἐννοιῶν καὶ λόγων ληπτάς. Ἀρκεσίλαος δέ, ὁ τῆς μέσης Ἀκαδημίας ἀρχηγός, μηδὲν δι' ἐπιστήμης ληπτὸν εἶναι ἔλεγεν. Ὁ δὲ Καρνεάδης, ὁ τῆς τρίτης ἡγησάμενος, ἐνυπάρχειν αὐτοῖς τοῖς πράγμασι τὴν ἀλήθειαν ἐδόξασεν· ἀδύνατον δὲ εἶναι ὑπ' ἀνθρώπου γνωσθῆναι· ἡ δὲ τετάρτη Ἀκαδημία, ἄλλα μὲν κατὰ δόξαν καὶ πιθανῶς, ἄλλα δὲ κατ' ἐπιστήμην καὶ βεβαίως γινώσκεσθαι εἰσηγεῖτο.

§ ΛΗ΄.

Ἀλλὰ μεταξὺ τῶν τοῦ Πλάτωνος ἀκροατῶν, τὸν πρῶτον κατέλαβε τόπον Ἀριστοτέλης ὁ Σταγειρίτης· πατρὸς μὲν Νικομάχου, μητρὸς δὲ Φαιστίδος γεννηθείς, οὗτος ζῶντος ἔτι τοῦ Πλάτωνος ἐν τῷ Λυκείῳ περιπατῶν, τὰ μὲν ἐξωτερικὰ μαθήματα ῥητορικὴν δηλ. ποιητικήν, κτλ. ἀπὸ μεσημβρίας ἐδίδασκε, περὶ δὲ τῶν ἐσωτερικῶν, ἢ ἀκροαματικῶν οἷον Μεταφυσικῶν, κτλ. ἀπὸ πρωΐας ἐφιλοσόφει· ὅθεν καὶ ἡ ἐξ αὐτοῦ αἵρεσις περιπατητικὴ προσηγορεύθη, ἐκ τοῦ *περιπάτου*, ἐν ᾧ ἐν τῷ διδάσκειν ἐχρῆτο λαβοῦσα τὴν *προσηγορίαν*.

§ ΛΘ΄.

Ἀριστοτέλης τὰς τοῦ Πλάτωνος ἐμφύτους ἰδέας ἀποῤῥίψας, πάσας τοῦ ἀνθρώπου τὰς ἐννοίας, διὰ τῶν αἰσθήσεων προσγινομένας ὑπέθετεν, ἐκ τῶν *ὑστέρων*, ἢ *μερικῶν*, εἰς τὰ *πρότερα* ἢ *καθόλου* προβαίνων. Τὴν δὲ λογικήν, ὄργανον τῆς φιλοσοφίας ὑπέλαβεν, ἧς μέρη θεωρητικὰ μέν, Μαθηματικά, Φυσικά· πρακτικὰ δέ, Ἠθικά, Πολιτικά, καὶ Οἰκονομικὰ ἐδόξαζε. Διεδέξατο δὲ Ἀριστοτέλην μέν, Θεόφραστος ὁ Αἰρέσιος, τοῦτον δὲ Στράτων ὁ Λαμψακινός, Στράτωνα δέ, Λύκων ὁ Τρωαδεύς, οὗ Ἀρίστων ὁ Κεῖος διάδοχος ἐγένετο, ὁ τὴν διαδοχὴν Κριτολάῳ τῷ ἐκ Φασίλιδος ἐγκαταλιπών.

§ Μ΄.

Ἀντισθένης δὲ ὁ Ἀθηναῖος τὸ ἐν Κυνοσάργει Γυμνάσιον καταλαβών, τῆς Κυνικῆς *αἱρέσεως* ἀρχηγὸς ἐγένετο· τῆς ἐκ τοῦ Κυνοσάργους, καὶ ἐκ τῆς τοῦ βίου τῶν ὀπαδῶν αὐτῆς τραχύτητος, οὕτως

ἐπονομασθείσης. Τοῦ δὲ Ἀντισθένους διάδοχοι ἐγένοντο, Διογένης ὁ Σινωπεύς, Κράτης καὶ Ὑπαρχία ἡ γυνὴ αὐτοῦ, Μένιππος, καὶ ἄλλοι οὐκ ὀλίγοι.

§ ΜΑ΄.

Πάντες οὗτοι τὴν μὲν λογικὴν καὶ πᾶσαν θεωρητικὴν φιλοσοφίαν, ἀπεδοκίμαζον· περὶ δὲ τὴν ἠθικὴν μόνην ἐνασχολούμενοι ἐφαίνοντο, ἔξοχον ἀγαθὸν τὴν ἀρετήν, ἡ τὴν ἑκούσιον καὶ ἐλεύθερον τῶν λεγομένων τοῦ κόσμου ἀγαθῶν, καταφρόνησιν ὑπολαμβάνοντες.

§ ΜΒ΄.

Ἐκ τῆς Κυνικῆς, ἡ τῶν Στωϊκῶν προῆλθεν αἵρεσις, ἧς Ζήνων ὁ Κιτιεὺς ἡγησάμενος ἱστόρηται· οὗτος πρῶτον Κράτητος τοῦ Κυνικοῦ ἠκροάσατο· εἶτα Ξενοφάνους τοῦ Πλατωνικοῦ, καὶ Στίλπωνος, καὶ Διοδώρου, καὶ Πολέμωνος· ἔπειτα ἰδίαν συνεστήσατο αἵρεσιν, καθαρίσας τὴν Κυνικὴν ἀπὸ τῆς τοῦ τρόπου τραχύτητος, καὶ τὴν ἐμβρίθειαν καὶ σεμνότητα τοῦ ἤθους ἀντικαταστήσας· ἀπὸ δὲ τῆς Ποικίλλης Στοᾶς, εἰς ἣν ἐδίδασκε, στωϊκὴν τὴν αἵρεσιν ὀνομάζεσθαι παρέσχε, καὶ Στωϊκοὺς τοὺς ἀπ' αὐτοῦ τοῦ Ζήνωνος, Ζηνωνίους καλουμένους.

§ ΜΓ΄.

Οὗτος καὶ τὴν διαλεκτικήν, καὶ τὴν φυσιολογίαν, τὰς ὑπὸ τῶν Κυνικῶν πρότερον ἀποβληθείσας, εἰς τὴν φιλοσοφίαν πάλιν εἰσήγαγε, τοὺς περὶ αὐτόν, οὐ μικρὸν εἰς τὰς τοιαύτας ἐξασκῶν θεωρίας.

§ ΜΔ΄.

Οἱ Στωϊκοί, ἐν μὲν τῇ φυσικῇ, πρῶτον περὶ σωμάτων ἐθεώρουν· δεύτερον δέ, περὶ ἀρχῶν· καὶ τρίτον περὶ στοιχείων· καὶ σώματα μὲν ἐκάλουν, πάντα τὰ ἐν ὑπάρξει ὄντα· τὰς δὲ ἀρχάς, φύσιν προσαγορεύουσιν, ἢ τὸν Θεὸν κόσμῳ σύμμικτον· στοιχεῖα δὲ τέσσαρα ἀπεδέχοντο· πῦρ, ἐξ οὗ καὶ οἱ ἀστέρες ἐγένοντο· ἀέρα, γῆν καὶ ὕδωρ.

§ ΜΕ΄.

Τῆς δὲ ἠθικῆς φιλοσοφίας, τέλος ἔλεγον, τὸ καταλλήλως ἢ συμφώνως τῇ φύσει ζῆν· ἀγαθὸν δέ, μόνην τὴν ἀρετήν· καὶ φαῦλον μόνην τὴν κακίαν· τὰ δὲ ἄλλα πάντα, ἀδιάφορα· τὸ δὲ σῶμα, συστέλλειν δεῖν καὶ σκληραγωγεῖν ἐνόμιζον· ὅθεν καὶ τὸν κατ' αὐτοὺς σοφόν, μόνον εἶναι ἐλεύθερον καὶ πάντα κατὰ τὸ καθῆκον ποιεῖν ἔλεγον.



§ ΜϚ΄.

Διέπρεψαν δὲ κατὰ τὴν Στωϊκὴν αἵρεσιν, Περσεὺς ὁ Κιτιεύς, Ἀρίστων ὁ Χῖος, ὁ διὰ τὴν εὐφράδειαν Σειρὴν ἐπονομασθείς· καὶ Ἥριλλος ὁ Καρχηδόνιος, καὶ Σφαῖρος ὁ Βορυσθενίτης, καὶ Κλεάνθης ὁ Φρεάντλης ἐπικληθείς, καὶ διάδοχος κατὰ τὴν σχολὴν γενόμενος· καὶ Χρύσιππος ὁ Σολεὺς ὁ τὸν Κλεάνθην διαδεχθείς, ὁ πολυγραφώτατος καὶ σοφιστικώτατος χρηματίσας· οὗ διάδοχος Ζήνων ὁ Ταρσεὺς ἐγένετο, ὃν Ἀντίπατρος καὶ αὐτὸς Ταρσεὺς διεδέξατο. Τοῦτον δὲ Παναίτιος, ὁ τὴν Στωϊκὴν ἀπάθειαν, ὡς ἀδύνατον ἀνθρώποις οὖσαν ὑπεριδών, διαδέξασθαι λέγεται· οὗ Ποσειδώνιος ὁ Σύρος διάδοχος ἐγένετο.

§ ΜΖ΄.

Διόλου τῇ Στωϊκῇ αἱρέσει ἀντίθετος, ἡ Ἐπικούρειος, ὡς ἡ Κηρυναϊκὴ ὑπῆρξεν αἵρεσις, ἧς ἀρχηγὸς Ἐπίκουρος, ἐγένετο ὁ Ἀθηναῖος, τὸν δῆμον Γαργήττειος, πατρὸς Νικοκλέους, καὶ μητρὸς Χαιρεστράτης γεννηθείς.

§ ΜΗ΄.

Οὗτος Ξενοφάνους καὶ Θεοφράστου ἀκούσας, εἰς Λάμψακον μετέβη, ὅπου πρὸς καιρὸν διδάξας εἰς Ἀθήνας ἐπέστρεψε, καὶ ἰδίαν σχολὴν ἐν κήπῳ τινὶ ἤνοιξε, διδάσκων τῆς κατ' αὐτὸν αἱρέσεως τὰ δόγματα.

§ ΜΘ΄.

Ἔστι δὲ κατ' αὐτὸν φιλοσοφία, ἐνέργεια πρὸς τὸ κτήσασθαι τὴν ἐνδεχομένην εὐδαιμονίαν τείνουσα· ὥστε τῆς τε φιλοσοφίας πρώτιστον καὶ κύριον μέρος τὴν ἠθικὴν ἔλεγε· δευτερεύοντα δὲ τήν τε κανονικήν, καὶ τὴν φυσικήν.

§ Ν΄.

Καὶ ἐν μὲν τῇ κανονικῇ, ἢ λογικῇ, τρία κριτήρια τῆς ἀληθείας εἶναι ἔλεγεν· αἴσθησιν, πρόληψιν καὶ πάθος· ἡδονὴν δηλ. καὶ πόνον καθότι, ἐν μὲν τοῖς αἰσθητοῖς, τὰς αἰσθήσεις καθ' ἑαυτὰς ἀπάτας ἀνωτέρας ἐδόξαζεν· ἐν δὲ τοῖς νοητοῖς, τὴν σαφῆ ἔννοιαν, καὶ τὸν ἀκριβῆ ὁρισμόν, ὡς βάσιν πάσης ἀποδείξεως ἐτίθετο· ἐν δὲ τοῖς πρακτικοῖς, τὴν μηδὲν ἔχουσαν δεινόν, ἡδονὴν αἱρετέαν· καὶ τὸ ἄνευ ἡδονῆς δεινὸν φευκτέον εἶναι ἐφρόνει. Ὅθεν καὶ ἐν τῇ ἠθικῇ, ὡς ἔξοχον ἀγαθόν; τὴν ἡδονὴν ἀπεδέχετο.

§ ΝΑ΄.

Ἐν δὲ τῇ φυσικῇ, ὡς στοιχεῖα, τὰς ἀτόμους κατά τε μέγεθος καὶ σχῆμα, καὶ βάρος διαφερούσας, καὶ τὸ κενὸν ὑπελάμβανε· καὶ ἐκ μὲν τῆς συγκρούσεως αὐτῶν, πάντα γίνεσθαι· ἐκ δὲ τῆς διαλύσεως, φθείρεσθαι· καὶ ἐκ τῶν ἰδιοτήτων αὐτῶν, πάντα τὰ ἐν τῇ φύσει παράγεσθαι φαινόμενα ἐδόξαζε.

§ ΝΒ΄.

Τοὺς Θεούς, ἀϊδίους καὶ μακαρίους, ἀλλ' ἀργοὺς ἀνθρωπομόρφους καὶ σωματικοὺς ἐφαντάζετο· τὴν δὲ ψυχήν, σύνθετον ἐκ πυρός, ἀέρος, πνεύματος, καὶ ἀκατονομάστου τινὸς ὕλης, ἐξ ἧς ἡ αἴσθησις ἔλεγε.

§ ΝΓ΄.

Ὀπαδοὶ καὶ τοῦ Ἐπικούρου ἐγένοντο πολλοί· τούτων δὲ ἐπισημότεροί εἰσι, Μητρόδωρος Λαμψακηνός, Ἀθήναιος, Φιλόδημος καὶ ἄλλοι οὐκ ὀλίγοι.

§ ΝΔ΄.

Καὶ ταῦτα μὲν περὶ τῆς Ἰωνικῆς, καὶ τῶν ἐξ αὐτῆς ἀναφυεισῶν αἱρέσεων. Τῆς δὲ Πυθαγορικῆς ἢ Ἰταλικῆς, Πυθαγόρας προέστη ὁ Σάμιος, ὅστις μεταξὺ τῆς μγ΄. καὶ νβ΄. Ὀλυμπιάδος ἀκμᾶσαι λέγεται.

§ ΝΕ΄.

Οὗτος ἐν Σάμῳ τῇ ἑαυτοῦ πατρίδι, Ἑρμόδαντον ἠκροάσατο· εἶτα Φερεκύδου τοῦ Σύρου ἐν Λέσβῳ, καὶ Θάλητος, καὶ Ἀναξιμάνδρου ἐν Μιλήτῳ· εἰς Αἰγυπτίους δὲ καὶ Χαλδαίους ἀποδημήσας, καὶ τὰ αὐτῶν ἐμυήθη· καὶ μετὰ τοῦ Ἐπιμενίδου ἐν Κρήτῃ εἰς τὸ Ἰδαῖον Ἄντρον κατῆλθεν· εἰς τὴν ἑαυτοῦ δὲ ἐπιστρέψας πατρίδα, καὶ ὑπὸ Πολυκράτους τυραννουμένην αὐτὴν καταλαβών, εἰς Κρότωνα τῆς Ἰταλίας μετέβη, ὅπου τὴν φιλοσοφίαν διδάσκων, πολλοὺς τῶν δυνατῶν αὐτῇ προσήγαγε· δι' ὧν πολλὰς τῆς Ἰταλίας πόλεις αὐτονόμους κατέστησε.

§ ΝϚ΄.

Διῃροῦντο δὲ οἱ αὐτοῦ ὁμιληταί, εἰς ἐξωτερικούς, οἵτινες διὰ συμβόλων τὰ αὐτοῦ ἐδιδάσκοντο δόγματα, καὶ ἐχεμύθειαν ἤσκουν, καὶ εἰς ἐσωτερικούς, μεθ' ὧν ἀπερικαλύπτως διελέγετο· καὶ οἱ μὲν περὶ θεωρίαν ἐνασχολούμενοι, Σεβαστικοὶ ὠνομάζοντο· οἱ δὲ περὶ τὰ ἀνθρώπινα, Πολιτικοί· οἱ δὲ περὶ τὰ Γεωμετρικά, καὶ Ἀστρονομικά, Μαθηματικοί· καὶ οἱ μὲν αὐτοῦ τοῦ Πυθαγόρου ἀκροώμενοι, Πυθαγορικοὶ ἐλέγοντο. Οἱ δὲ τούτων μαθηταί, Πυθαγόρειοι· οἱ δὲ ἄλλοι τοῦ Πυθαγόρου ζηλωταί, Πυθαγορισταὶ ὠνομάζοντο.



§ ΝΖ΄.

Τὴν φιλοσοφίαν, ἣν σοφίαν πρότερον καλουμένην, πρῶτος Πυθαγόρας, οὕτω καλεῖσθαι παρέσχε, ὡς καὶ τὸν σοφόν, φιλόσοφον, γνῶσιν τῶν ὄντων, ἢ ὄντα ὡρίσατο. Διῄρει δὲ αὐτήν, εἰς θεωρητικὴν καὶ πρακτικήν, καὶ ἐκείνης μὲν τέλος, τὸ μηδὲν θαυμάζειν εἶναι ἔλεγε· ταύτης δέ, τῶν δεσμῶν τοῦ σώματος ἀπαλλάξαι, καὶ εἰς ἐλευθερίαν ἀγαγεῖν.

§ ΝΗ΄.

Πρῶτος τὸ σύμπαν τοῦτο, κόσμον ἐκάλεσε· καὶ τὴν γῆν περὶ τὸν Ἥλιον κινεῖσθαι ἐδόξασε· μόνα δὲ ἀσώματα ἀληθῶς ὄντα ἐφρόνει. Ὅθεν καὶ τὴν τοῦ ἀνθρώπου οὐσίαν, ἐν μόνῃ τῇ ψυχῇ κεῖσθαι ἐνόμιζε καὶ τὴν ἀληθῆ εὐδαιμονίαν, ἐν τῇ ἀπὸ τῶν δεσμῶν τῆς ψυχῆς λύσει καὶ ἐλευθερίᾳ ἐπείθετο.

§ ΝΘ΄.

Τὸν Θεὸν οὐσίαν νοερὰν εἰς τὸ σύμπαν διακεχυμένην ἐδόξαζε· τὰς δὲ ψυχὰς ὡς ἀπὸ μοίρας τῆς τοῦ Θεοῦ Οὐσίας, καὶ τὴν μετεμψύχωσιν ἐπρέσβευεν ἀπὸ τῶν ἀνθρώπων εἰς τὰ ζῶα, καὶ ἀπὸ τούτων πάλιν εἰς τοὺς ἀνθρώπους μεταβαίνειν παραδεχόμενος.

§ Ξ΄.

Περί τε τὸ μαθηματικὸν εἶδος, οὐ μικρὸν ἐνησχολήθη, καὶ μάλιστα τὴν Ἀριθμητικὴν καὶ Μουσικήν, ἃς καὶ εἰς τὰς ἐπιστήμας ἀνήγαγε· διεδέχθη δὲ τὸν Πυθαγόραν Ἀρισταῖος· τοῦτον δὲ ὁ τοῦ Πυθαγόρου υἱὸς Μνήσαρχος, ὁ ὑπὸ τοῦδε τοῦ Κροτωνιάτου διαδεχθείς· εἰς ὃν καὶ τῶν Πυθαγορικῶν κατέληξεν ἡ σχολή.

§ ΞΑ΄.

Ἡ δὲ Ἐλεατικὴ αἵρεσις, ἀπὸ Ἐλέας πόλεως τῆς Μεγάλης Ἑλλάδος, οὕτω προσηγορεύθη. Προέστη δὲ αὐτῆς Ξενοφάνης ὁ Κολοφώνιος ὁ μίαν μόνην οὐσίαν ἐν τῷ σύμπαντι δεχόμενος· τοῦτον Παρμενίδης διεδέξατο ὁ Ἐλεάτης· δύο μόνα στοιχεῖα γῆν καὶ ὕδωρ τῶν ἁπάντων ὑποτιθέμενος· τούτου διάδοχος γίνεται Μέλισσος ὁ Σάμιος μεθ' ὃν Ζήνων ὁ Ἐλεάτης ὁ πρῶτος περὶ διαλεκτικῆς συγγράψας·

§ ΝΑ'.

Ἐν δὲ τῇ φυσικῇ, ὡς στοιχεῖα, τὰς ἀτόμους κατά τε μέγεθος καὶ σχῆμα, καὶ βάρος διαφερούσας, καὶ τὸ κενὸν ὑπελάμβανε· καὶ ἐκ μὲν τῆς συγκρούσεως αὐτῶν, πάντα γίνεσθαι· ἐκ δὲ τῆς διαλύσεως, φθείρεσθαι· καὶ ἐκ τῶν ἰδιοτήτων αὐτῶν, πάντα τὰ ἐν τῇ φύσει παράγεσθαι φαινόμενα ἐδόξαζε.

§ ΝΒ'.

Τοὺς Θεούς, ἀϊδίους καὶ μακαρίους, ἀλλ' ἀργοὺς ἀνθρωπομόρφους καὶ σωματικοὺς ἐφαντάζετο· τὴν δὲ ψυχήν, σύνθετον ἐκ πυρός, ἀέρος, πνεύματος, καὶ ἀκατονομάστου τινὸς ὕλης, ἐξ ἧς ἡ αἴσθησις ἔλεγε.

§ ΝΓ'.

Ὀπαδοὶ καὶ τοῦ Ἐπικούρου ἐγένοντο πολλοί· τούτων δὲ ἐπισημότεροί εἰσι, Μητρόδωρος Λαμψακηνός, Ἀθήναιος, Φιλόδημος καὶ ἄλλοι οὐκ ὀλίγοι.

§ ΝΔ'.

Καὶ ταῦτα μὲν περὶ τῆς Ἰωνικῆς, καὶ τῶν ἐξ αὐτῆς ἀναφυεισῶν αἱρέσεων. Τῆς δὲ Πυθαγορικῆς ἢ Ἰταλικῆς, Πυθαγόρας προέστη ὁ Σάμιος, ὅστις μεταξὺ τῆς μγ'. καὶ νβ'. Ὀλυμπιάδος ἀκμᾶσαι λέγεται.

§ ΝΕ'.

Οὗτος ἐν Σάμῳ τῇ ἑαυτοῦ πατρίδι, Ἑρμόδαντον ἠκροάσατο· εἶτα Φερεκύδου τοῦ Σύρου ἐν Λέσβῳ, καὶ Θάλητος, καὶ Ἀναξιμάνδρου ἐν Μιλήτῳ· εἰς Αἰγυπτίους δὲ καὶ Χαλδαίους ἀποδημήσας, καὶ τὰ αὐτῶν ἐμυήθη· καὶ μετὰ τοῦ Ἐπιμενίδου ἐν Κρήτῃ εἰς τὸ Ἰδαῖον Ἄντρον κατῆλθεν· εἰς τὴν ἑαυτοῦ δὲ ἐπιστρέψας πατρίδα, καὶ ὑπὸ Πολυκράτους τυραννουμένην αὐτὴν καταλαβών, εἰς Κρότωνα τῆς Ἰταλίας μετέβη, ὅπου τὴν φιλοσοφίαν διδάσκων, πολλοὺς τῶν δυνατῶν αὐτῇ προσήγαγε· δι' ὧν πολλὰς τῆς Ἰταλίας πόλεις αὐτονόμους κατέστησε.

§ ΝϚ'.

Διῃροῦντο δὲ οἱ αὐτοῦ ὁμιληταί, εἰς ἐξωτερικούς, οἵτινες διὰ συμβόλων τὰ αὐτοῦ ἐδιδάσκοντο δόγματα, καὶ ἐχεμύθειαν ἦσκουν, καὶ εἰς ἐσωτερικούς, μεθ' ὧν ἀπερικαλύπτως διελέγετο· καὶ οἱ μὲν περὶ θεωρίαν ἐνασχολούμενοι, Σεβαστικοὶ ὠνομάζοντο· οἱ δὲ περὶ τὰ



ἀνθρώπινα, Πολιτικοί· οἱ δὲ περὶ τὰ Γεωμετρικά, καὶ Ἀστρονομικά, Μαθηματικοί· καὶ οἱ μὲν αὐτοῦ τοῦ Πυθαγόρου ἀκροώμενοι, Πυθαγορικοὶ ἐλέγοντο. Οἱ δὲ τούτων μαθηταί, Πυθαγόρειοι· οἱ δὲ ἄλλοι τοῦ Πυθαγόρου ζηλωταί, Πυθαγορισταὶ ὠνομάζοντο.

§ ΝΖ'.

Τὴν φιλοσοφίαν, ἣν σοφίαν πρότερον καλουμένην, πρῶτος Πυθαγόρας, οὕτω καλεῖσθαι παρέσχε, ὡς καὶ τὸν σοφόν, φιλόσοφον, γνῶσιν τῶν ὄντων, ἢ ὄντα ὡρίσατο. Διῄρει δὲ αὐτήν, εἰς θεωρητικὴν καὶ πρακτικήν, καὶ ἐκείνης μὲν τέλος, τὸ μηδὲν θαυμάζειν εἶναι ἔλεγε· ταύτης δέ, τῶν δεσμῶν τοῦ σώματος ἀπαλλάξαι, καὶ εἰς ἐλευθερίαν ἀγαγεῖν.

§ ΝΗ'.

Πρῶτος τὸ σύμπαν τοῦτο, κόσμον ἐκάλεσε· καὶ τὴν γῆν περὶ τὸν Ἥλιον κινεῖσθαι ἐδόξασε· μόνα δὲ ἀσώματα ἀληθῶς ὄντα ἐφρόνει. Ὅθεν καὶ τὴν τοῦ ἀνθρώπου οὐσίαν, ἐν μόνῃ τῇ ψυχῇ κεῖσθαι ἐνόμιζε καὶ τὴν ἀληθῆ εὐδαιμονίαν, ἐν τῇ ἀπὸ τῶν δεσμῶν τῆς ψυχῆς λύσει καὶ ἐλευθερίᾳ ἐπείθετο.

§ ΝΘ'.

Τὸν Θεὸν οὐσίαν νοερὰν εἰς τὸ σύμπαν διακεχυμένην ἐδόξαζε· τὰς δὲ ψυχὰς ὡς ἀπὸ μοίρας τῆς τοῦ Θεοῦ Οὐσίας, καὶ τὴν μετεμψύχωσιν ἐπρέσβευεν ἀπὸ τῶν ἀνθρώπων εἰς τὰ ζῶα, καὶ ἀπὸ τούτων πάλιν εἰς τοὺς ἀνθρώπους μεταβαίνειν παραδεχόμενος.

§ Ξ'.

Περί τε τὸ μαθηματικὸν εἶδος, οὐ μικρὸν ἐνησχολήθη, καὶ μάλιστα τὴν Ἀριθμητικὴν καὶ Μουσικήν, ἃς καὶ εἰς τὰς ἐπιστήμας ἀνήγαγε· διεδέχθη δὲ τὸν Πυθαγόραν Ἀρισταῖος· τοῦτον δὲ ὁ τοῦ Πυθαγόρου υἱὸς Μνήσαρχος, ὁ ὑπὸ τοῦδε τοῦ Κροτωνιάτου διαδεχθείς· εἰς ὃν καὶ τῶν Πυθαγορικῶν κατέληξεν ἡ σχολή.

§ ΞΑ'.

Ἡ δὲ Ἐλεατικὴ αἵρεσις, ἀπὸ Ἐλέας πόλεως τῆς Μεγάλης Ἑλλάδος, οὕτω προσηγορεύθη. Προσέτη δὲ αὐτῆς Ξενοφάνης ὁ Κολοφώνιος ὁ μίαν μόνην οὐσίαν ἐν τῷ σύμπαντι δεχόμενος· τοῦτον Παρμενίδης διεδέξατο ὁ Ἐλεάτης· δύο μόνα στοιχεῖα γῆν καὶ ὕδωρ τῶν ἁπάντων ὑποτιθέμενος· τούτου διάδοχος γίνεται Μέλισσος ὁ Σάμιος μεθ' ὃν Ζήνων ὁ Ἐλεάτης ὁ πρῶτος περὶ διαλεκτικῆς συγγράψας·

μετὰ τοῦτον Λεύκιππος Ἐλεάτης, καὶ αὐτὸς ὁ τὴν περὶ τὰ ἄτομα δόξαν τοῦ Μόσχου ἀνακαινίσας, ἣν καὶ Δημόκριτος ὁ Ἀβδηρίτης παρέλαβε καὶ Ἡράκλειτος ὁ Ἐφέσιος, καὶ Πρωταγόρας, καὶ Ἀνάξαρχος, ὅστις ὑπὸ Νικοκρέοντος τοῦ τυράννου βασανιζόμενος ἀταράχως ἐξεφώνησε· «Πτίσσε πτίσσε τὸν Ἀναξάρχου θύλακον· αὐτὸν γὰρ Ἀνάξαρχον οὐ πτίσεις.»

## § ΞΒ'.

Ἡ δὲ Πυῤῥωνικὴ αἵρεσις ἀπὸ Πύῤῥωνος τοῦ Ἐλεάτου τοῦ πρώτου αὐτῆς εἰσηγητοῦ τὴν προσηγορίαν ἔλαβεν· οὗτος μαθητὴς ὑπῆρξεν Ἀναξάρχου καὶ παντελῆ ἀκαταληψίαν ἐδίδασκεν· ὅθεν καὶ ἡ αἵρεσις αὐτὴ ἀπορητικὴ ὠνομάσθη, καὶ σκεπτική, καὶ ζητητική, καὶ ἐφεκτική, καὶ ἀκαταληπτική· ὀπαδοὶ δὲ αὐτῆς ἐγένοντο Εὐρύλοχος, καὶ Ἑκαταῖος ὁ Αὐδηρίτης καὶ ἄλλοι οὐκ ὀλίγοι· ὧν ἐπισημότεροι Σέξτος ὑπῆρξεν ὁ Ἐμπειρικός.

## § ΞΓ'.

Καὶ τοσαῦται μὲν καὶ τοιαῦται ὑπῆρξαν αἱ τῆς φιλοσοφίας αἱρέσεις παρ' Ἕλλησι· τῶν δὲ Ρωμαϊκῶν πραγμάτων οὐ μικρὸν προοδευσάντων, καὶ ἡ φιλοσοφία διὰ τῶν Ἑλλήνων εἰς τὴν Ρώμην μετέβη, καὶ ὑπὸ τοῖς αὐτοῖς τῶν αἱρέσεων ὀνόμασι πρεσβευομένη διετέλει, μηδεμίαν παρ' αὐτοῖς λαβοῦσα μεταβολήν· διότι Ἔννιοι μέν, καὶ Νιγίδιος ὁ Φιγοῦλος, καὶ Κάτων ὁ Κινσορῖνος ὁ ὑπὸ Νεάρχου τοῦ Πυθαγορικοῦ διδαχθεὶς περὶ τὰ Πυθαγορικὰ ἐνησχολήθησαν δόγματα, καὶ ὀπαδοὶ τῆς Πυθαγορικῆς ἐγένοντο αἱρέσεως. Μάρκος δὲ ὁ Βροῦτος καὶ Μάρκος Τερέντιος ὁ Οὐάρρων, καὶ ὁ Κικέρων ὁ διὰ τὴν ῥητορείαν θρυλλούμενος τοῖς Πλατωνικοῖς προσετέθησαν. Τοῖς δὲ Στωϊκοῖς ἠκολούθησαν, Κόϊντος Λοκίλλιος ὁ Βάλβιος· Κάτων ὁ Ὑτικαῖος, Σένεκας ὁ Νέρωνος Διδάσκαλος καὶ ἄλλοι οὐκ ὀλίγοι. Οἱ δὲ τὰ τοῦ Ἀριστοτέλους φρονήσαντες ὑπῆρξαν Κράσσος ὁ Ἀλεξάνδρου τοῦ Ἀντιοχέως ἀκροασάμενος· Πίσων ὑπὸ Στασίου διδαχθείς, καὶ ὑπὸ τοῦ Κικέρωνος εἰς Ἀθήνας ἀποδημήσας, καὶ ὑπὸ Κρατίππου εἰς τὴν περιπατητικὴν παρεισαχθεὶς αἵρεσιν· τῆς δὲ Ἐπικούρου διδασκαλίας μετέσχον πολλοί τε ἄλλοι καὶ Πομπήϊος καὶ Κάσσιος καὶ Λουκρήτιος ὁ Κάῤῥος.

## § ΞΔ'.

Καὶ ἐπὶ Καισάρων δὲ αἱ αὐταὶ αἱρέσεις ἀκμάζουσαι ἐφαίνοντο· διότι Πυθαγόρᾳ μὲν Ἀναξίλαος ὁ Λαρισσαῖος ὁ ἑπόμενος ἦν ὁ ὑπὸ Αὐγούστου ἐπὶ γοητείᾳ τῆς Ἰταλίας ἐκδιωχθείς, καὶ Σέξτιος ὁ Ῥω-



μαῖος καὶ Μοδεράτος ὁ Γαγιταῖος, καὶ Ἀπολλώνιος ὁ τερατοποιός, καὶ Σεκοῦνδος Ἀθηναῖος καὶ Νικόμαχος ὁ Τερασινὸς ὁ Περὶ Θεολογουμένων συγγράψας ἀριθμῶν. Πλάτωνι δὲ παρηκολούθησαν Θρασύλος ὁ Ἀστρολογικός, ὁ ὑπὸ Τιβερίου ἀναιρεθείς· Φαίων ὁ Σμυρναῖος· Φαβορῖνος ὁ παρὰ Ἐπικτήτῳ φιλοσοφήσας, τὰ τοῦ Πλάτωνος δὲ ἀσπασάμενος δόγματα· Ταῦρος ὁ Βηρύττιος ὁ ἐπὶ Ἀντωνίου τοῦ Πίου ἀκμάσας· Νουμήνιος ὁ τὸν Πλάτωνα Μωϋσῆν ἀττικίζοντα προσαγορεύσας· Μάξιος ὁ Ζύριος ὁ ἐπὶ Ἀντωνίνου, καὶ Κομμόδου σοφιστεύσας· καὶ Πλούταρχος ὁ Χαιρωνεύς, ὁ ἐπὶ Τραϊνοῦ διαπρέψας· καὶ Γαληνός, ὁ ἐκ Περγάμου ὁ ἐπὶ Μάρκου Αὐρηλίου ἐπὶ φιλοσοφίᾳ καὶ τῇ τῶν Ἀσκληπιαδῶν ἐπιστήμῃ μέγα ἀράμενος ὄνομα.

## § ΞΕ'.

Εὐκλεῶς δὲ κινίσαντες ἀνεφάνησαν Μουσώνιος καὶ Δημήτριος ὁ Κυνικός, Δημόναξ ὁ Δημητρίου καὶ Ἐπικτήτου ἀκροασάμενος καὶ Κρήσκης καὶ Περεγρῖνος, καὶ Σαλούστιος ὁ Ἐμμεσηνός.

## § ΞϚ'.

Καὶ τῇ Στωϊκῇ δὲ αἱρέσει προσεγένοντο Θεόδωρος ὁ Ταρσεύς, καὶ Γάϊος Μουσώνιος ὁ Ροῦφος, καὶ Χαιρήμων ὁ Αἰγύπτιος, καὶ Εὐφράτης, ὁ Προυσατεὺς ὁ διὰ τὴν εὐφράδειαν χρυσόστομος ἐπικληθείς, καὶ Δίων ὁ Ἀλεξανδρεύς, καὶ Ἐπίκτητος, οὗ Τούνιος ὁ Ρουστικὸς καὶ Φαβορῖνος, καὶ Ἀτριανός, καὶ Σέξτος ὁ Χαιρωνεύς, καὶ Μάρκος Αὐρήλιος, ὁ τὴν φιλοσοφίαν ἐπὶ τὸν Θρόνον συγκάθεδρον παραλαβών.

## § ΞΖ'.

Τοῖς Ἐπικουρείοις δὲ ἠκολούθησαν Φεῖδος ὁ τοῦ Κικέρωνος γνώριμος καὶ Λουκρήτιος ὁ ἐμμέτρως τὰ τῆς αἱρέσεως ἐκθέμενος δόγματα καὶ Κέλσος καὶ Πλίνιος ὁ τῷ Βεζουβίῳ ὑπὲρ τὸ δέον προσεγγίσας, καὶ ὑπὸ τῶν ἀναδιδομένων ἀτμῶν ἀποπνιγείς, τῇ αἱρέσει ταύτῃ ἀκολουθήσας φαίνεται· καὶ Λουκιανὸς ὁ Σαμοσατεὺς καὶ Διογένης ὁ Λαέρτιος.

## § ΞΗ'.

Τῇ περιπατητικῇ δὲ αἱρέσει κατελέχθησαν Σουσιγένης ὁ ἐπὶ Ἰουλίου Καίσαρος τὸ ἔτος διορθώσας, καὶ Βόηθος ὁ Σιδώνιος, καὶ Στράβων ὁ Γεωγράφος, καὶ Νικόλαος ὁ Δαμασκηνός, καὶ Ξέναρχος καὶ Ἀθήναιος οἱ ἐκ τῆς Σελευκίας, καὶ Ἀλέξανδρος ὁ τῆς τοῦ Νέρωνος διαστροφῆς αἴτιος νομισθείς, καὶ Ἀμμώνιος ὁ τοῦ Πλουτάρχου

διδάσκαλος. Ἀλλὰ τούτων οἱ πλείονες τὰ τοῦ Πλάτωνος τοῖς τοῦ Ἀριστοτέλους σύμφωνα ἀποδεικνύειν ἠγωνίζοντο, καὶ τὰ διόλου ἀσυμβίβαστα συμβιβάζειν ἐπειρῶντο.

§ ΞΘ'.

Καὶ οὕτως ἡ τῶν Ἐκλεκτῶν, ἡ Ἐκλεκτικὴ ὀνομασθεῖσα ἀνεφάνη αἵρεσις, ἧς τινος ἡ κατάχρησις Συναρμοστάς τινὰς ἀληθῶς, καὶ Συλλεκτικούς, οὐχὶ Ἐκλεκτικούς, τοὺς αὐτῇ προσκειμένους ἀνέδειξε· διότι τὰ τῶν Χαλδαίων τοῖς Πυθαγορικοῖς, καὶ Πλατωνικοῖς, καὶ Ἀριστοτελικοῖς· τὸ δὲ παράλογον καὶ τοῖς χριστιανικοῖς ἑνώσαντες δόγμασιν ἄθροισμά τι ἀλλόκοτον διαφόρων δοξασμάτων παρήγαγον.

§ Ο'.

Τοῦ Ἐκλεκτικοῦ δὲ ἡ Συλλεκτικοῦ τούτου κόμματος, Ποτάμων προέστη ὁ Ἀλεξανδρεύς, μεθ' ὃν Ἀμμώνιος, ὁ Σακκᾶς ἐπονομασθείς, καὶ περὶ τὰς ἀρχὰς τῆς τρίτης ἑκατονταετηρίδος γενόμενος· τούτου ἠκροάσαντο Διονύσιος ὁ Λογγῖνος, καὶ Πλωτῖνος.

§ ΟΑ'.

Τοῦ δὲ Πλωτίνου ὀπαδὸς ἐγένετο Πορφύριος, ὃν Ἰάμβλιχος ὁ Χαλκιδεὺς διεδέχθη· τούτου δὲ ἀποθανόντος, καὶ τὰ τῶν Συλλεκτικῶν τούτων, ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου παρακμάζειν ἤρξαντο· ἐπὶ δὲ τοῦ Ἰουλιανοῦ ταῦτα πρεσβεύοντες ἐφάνησαν Εὐστάθιος καὶ Εὐσέβιος καὶ ἄλλοι οὐκ ὀλίγοι.

§ ΟΒ'.

Κατὰ τὴν ἕκτην δὲ ἑκατονταετηρίδα Ἱεροκλῆς τῆς αἱρέσεως ταύτης ἐν Ἀλεξανδρείᾳ προΐστατο, καὶ πρὸ αὐτοῦ δὲ ἐν Ἀθήναις Πλούταρχος ὁ τοῦ Νεστορίου, οὗ καὶ Συριανός, ἀκροατὴς ἐγένετο· τούτου δὲ Πρόκλος ὅστις κατὰ τὸ 485 ἐτελεύτησε· τούτοις δὲ συγκαταλέγονται καὶ Πρόκλος ὁ Λύκιος καὶ Ζηνόδοτος, καὶ Δαμάσκιος ὁ Σύρος, καὶ Σιμπλίκιος ὁ Κίλυξ.

§ ΟΓ'.

Παρὰ τούτους καὶ ἄλλοι τῇ αἱρέσει ταύτῃ ἀκολουθήσαντες φαίνονται· οἷον Θεμίστιος, καὶ Λιβάνιος ὁ Γρηγορίου τοῦ Θείου διδάσκαλος γενόμενος· καὶ Θέων ὁ Ἀλεξανδρεύς, καὶ Ὑπατεία ἡ θυγάτηρ αὐτοῦ.



§ ΟΔ'.

Χριστιανοὶ δὲ Ἐκλεκτικοὶ φιλοσοφήσαντες ὑπῆρξαν Ἰουστῖνος ὁ Μάρκος, καὶ ὁ Μαθητὴς αὐτοῦ Τατιανὸς ὁ Σύρος, ὁ ὕστερον τῇ τῶν γνωστικῶν αἱρέσει ἀκολουθήσας, καὶ Θεόφιλος ὁ Ἀντιοχεύς, καὶ Ἀθηναγόρας, καὶ Εἰρηναῖος ὁ Λουγδούνων Ἐπίσκοπος καὶ Κλήμης ὁ Ἀλεξανδρεύς, καὶ Ὠριγένης, καὶ Δίδυμος ὁ Ἀλεξανδρεύς. παρὰ δὲ τοῖς Δυτικοῖς Ἀρνόβιος καὶ Λακουτάνκος.

§ ΟΕ'.

Κατὰ τὴν πέμπτην δὲ ἑκατονταετηρίδα, καὶ Αὐγουστῖνος ἤκμαζε καὶ Συνέσιος, κατὰ τὴν ἕκτην Αἰνείας ὁ Γαζαῖος, καὶ Ζαχαρίας ὁ σχολαστικός, καὶ Ἰωάννης ὁ Φιλόπονος, ὁ τὸν Ἀριστοτέλην τῷ Πλάτωνι συμβιβάζειν σπουδάζων· τούτῳ δὲ μᾶλλον παρακολουθῶν ἐφαίνετο ὡς καὶ πάντες σχεδόν, οἱ κατ' ἐκεῖνον τὸν χρόνον φιλοσοφοῦντες χριστιανοί.

§ ΟϚ'.

Τῆς τῶν Πλατωνικῶν δὲ αἱρέσεως κατὰ τὴν ἑβδόμην ἑκατονταετηρίδα παρακμάζειν ἀρχομένης, ἡ τῶν Ἀριστοτελικῶν προβαίνειν ἔσπευδε, κατὰ τὴν ἐνάτην δὲ καὶ Φώτιος ἐφάνη ὁ κριτικώτατος, καὶ ὁ πρεσβύτερος Ψελλός, οὗ καὶ Λέων ὁ φιλόσοφος ἐπικληθείς, ἠκροάσατο· τούτου δὲ ὀπαδοὶ ἐγένοντο καὶ Νικήτας, καὶ Εὐστράτιος καὶ ἄλλοι οὐκ ὀλίγοι, μεθ' οὓς Ἀριστοτελίζοντες ἐφάνησαν· καὶ Νικηφόρος ὁ Βλεμμίδας, καὶ Γεώργιος ὁ Παχυμέρης, Νικηφόρος ὁ Γρηγορᾶς.

§ ΟΖ'.

Πλατωνίζων δὲ ὑπῆρξε Ψελλὸς ὁ νεώτερος· καὶ οὗτοι μὲν πάντες τὴν παιδείαν ἀπὸ τῆς παντελοῦς αὐτῆς διαφορᾶς σώζειν ἐπεχείρουν· ἀλλ' οἱ πόνοι αὐτῶν μικρὸν εἰς τὸν σκοπὸν τοῦτον συνετέλουν τῆς τῶν πραγμάτων φορᾶς αὐτοῖς ἐναντιουμένης· τῆς δὲ φιλοσοφίας καὶ αὐτὸ τὸ ὄνομα ἐκλιπεῖν ἐκινδύνευε.

§ ΟΗ'

Εἰς τοιαύτην ἡ φιλοσοφία καταντήσασα κατάστασιν, εἰς τὸ τῶν Ἀράβων ἔθνος καταφυγεῖν φαίνεται· διότι οὗτοι οἱ Ἄραβες ἀπ' αὐτῆς τῆς ὀγδόης ἑκατονταετηρίδος ἀκμάζειν ἀρξάμενοι, καὶ τῆς Λιβύας ἁπάσης, καὶ τῆς πρὸς δυσμὰς Ἰβηρίας, κύριοι γενόμενοι, τὴν τῶν Περιπατητικῶν ἐνηγκαλίσαντο αἵρεσιν, τὰ τοῦ Ἀριστοτέλους

λοιπὸν εἰς τὴν ἰδίαν μεταφέροντες διάλεκτον καὶ ταῦτα μόνα σχεδὸν ὑπομνηματίζοντες τούτοις καὶ προσκείμενοι διετέλουν. Εὐκλεῶς δὲ παρ' αὐτοῖς Ἀριστοτελίσαντες φαίνονται Ἀβικένας ὁ κατὰ τὴν ἑνδεκάτην ἑκατονταετηρίδα ἀκμάσας καὶ Ἀβεῤῥόης ὁ κατὰ τὴν δωδεκάτην, οἳ καὶ ἐπὶ τῇ τῶν Ἀσκληπιαδῶν τέχνῃ οὐ μικρὸν εὐδοκιμήσαντες.

## § ΟΘ'.

Ἐκ τῶν Ἀράβων δὲ ἡ τοῦ Ἀριστοτέλους φιλοσοφία διὰ τῆς Ἱσπανίας εἰς τὴν Γαλλίαν, καὶ εἰς τὴν λοιπὴν μεταβᾶσα Εὐρώπην, καὶ ἐκλατινισθεῖσα εἰς πάσας σχεδὸν ἐδιδάσκετο τὰς σχολάς· ὅθεν καὶ σχολαστικὴ προσηγορεύθη· εἰς ὑπομνηματισμοὺς μόνον ἐνασχολουμένη, καὶ εἰς τὴν Γραμματικήν, Ἀριθμητικήν, Γεωμετρίαν, Μουσικήν, Ἀστρονομίαν, Διαλεκτικήν, καὶ Ῥητορικὴν περιοριζομένη, ὧν αἱ μὲν τρεῖς πρῶται Τριώδιον· αἱ δὲ λοιπαὶ τέσσαρες, Τετραώδιον προσηγορεύοντο.

## § Π'.

Ἡ σχολαστικὴ αὕτη φιλοσοφία εἰς δύο πάλιν διῃρέθη αἱρέσεις· εἰς τὴν τῶν πραγματικῶν προσαγορευθεῖσαν καὶ εἰς τὴν τῶν ὀνοματικῶν· καὶ τῆς μὲν πρώτης πρόμαχοι ἐφάνησαν· Πέτρος ὁ Ἀβελάρδος καὶ Ἀλβέρτος ὁ μέγας, ἐπικληθεὶς Θωμᾶς ὁ Ἀκυϊνάτης, καὶ Ἰωάννης ὁ Σκῶτος· τῆς δὲ δευτέρας Βιλέλμος Ὄκαμος· ἐριστικὴ δέ τις μᾶλλον οὖσα ἡ σχολαστικὴ φιλοσοφία, ἢ τοῦ ἀληθοῦς ζητητική, οὐδεμίαν εἰς τὴν εὕρεσιν αὐτοῦ ἐποίει πρόοδον· ἕως οὗ περὶ τὴν ἅλωσιν τῆς Κωσταντινουπόλεως Ἕλληνες σοφοὶ εἰς τὴν Εὐρώπην καταφυγόντες, καὶ τὰ τῶν ἀρχαίων συγγράμματα κατ' αὐτὸ τὸ πρωτότυπον ἀναπτύσσοντες, εἰς τὴν ἀναγέννησιν τῆς ὀρθῆς φιλοσοφίας ἀφορμὴν ἔδωκαν.

## § ΠΑ'.

Τοιοῦτοι δὲ ὑπῆρξαν Θεόδωρος ὁ Γαζῆς, Γεώργιος ὁ Τραπεζούντιος· καὶ ἄλλοι οὐκ ὀλίγοι τῷ Ἀριστοτέλει ἑπόμενοι· Γεμιστὸς ὁ Πλήθων καὶ Βησσαρίων τῆς τοῦ Πλάτωνος προσκείμενοι.

## § ΠΒ.'

Ἐκ τούτων τὰς ἀφορμὰς λαβόντες, καὶ ἄλλοι μὲν πολλοὶ φιλοσοφήσαντες φαίνονται· Καρτέσιος δὲ ὁ Γάλλος, ὁ κατὰ τὸ 1596 ἔτος γεννηθείς, ὃς τὰ τῆς φιλοσοφίας καινοτομήσας, καὶ τῆς οἷον



δευτέρας ἐποχῆς τῆς παλιγγενεσίας αὐτῆς αἴτιος γενόμενος, μεγάλως ἐκλεΐσθη.

## § ΠΓ'.

Μετὰ τοῦτον Σπινόζας ἐφάνη ὁ ἐν Ἀμστελοδάμῳ κατὰ τὸ 1632 γεννηθείς, καὶ Λεϊβνίτιος ὁ ἐν Λειψίᾳ τῆς Σαξωνίας κατὰ τὸ 1646 καὶ Βόλφιος ὁ κατὰ τὸ 1670, ὅστις καὶ πρῶτος πλῆρες φιλοσοφικῶν ἐπιστημῶν συνέγραψε σύστημα.

## § ΠΔ'.

Τῆς δὲ οἷον τρίτης τῆς παλιγγενεσίας τῆς φιλοσοφίας ἐποχῆς αἴτιοι ἐγένοντο Γαλιλαῖος ὁ Γαλιλαΐυ, Νεύτων, Βάκων ὁ Βερουλάμιος, Λώκκιος, ὁ κατὰ τὰ 1632 γεννηθείς· Κονδιλλάκιος ὁ Γάλλος ὁ τὴν Λωκκίου δόξαν ἀναπτύξαι σπουδάσας καὶ ἄλλοι οὐκ ὀλίγοι.

## § ΠΕ'.

Ἀλλ' εἰς φιλοσοφίας μεταῤῥύθμισιν ἐν Γερμανίᾳ οὐ μικρὰν ἔδωκεν ἀφορμήν, καὶ Κάντιος ὁ περικλεής, ὁ κατὰ τὸ 1724 γεννηθεὶς κατὰ δὲ τὰ 1804 ἀποθανών, μετ' αὐτὸν δὲ καὶ Ἰωάννης Φίχτερος, ὅστις ἐγεννήθη μὲν τὸ 1762, ἀπέθανε δὲ τὸ 1814 εἰς τὴν αὐτὴν ἐνησχολήθη μεταῤῥύθμισιν, καὶ σήμερον ἐν Γερμανίᾳ ἀπὸ Καντίου λαβόντες τὰς ἀφορμὰς ἄνδρες οὐκ ὀλίγοι εἰς τὴν τῆς φιλοσοφίας πρόοδον ἐνασχολούμενοι φαίνονται.

## § ΠϚ'.

Παρ' ἡμῖν δὲ κατὰ τὴν δεκάτην ἕκτην ἑκατονταετηρίδα λήγουσαν, παιδείας μέτοχοι ἐφάνησαν Γαβριὴλ ὁ Σεβῆρος, Μελέτιος ὁ Πηγάς, καὶ Μάξιμος ὁ Μαργούνιος· πρὸ αὐτῶν δὲ καὶ Γεννάδιος ὁ Σχολάριος ὁ πρῶτος μετὰ τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν Πατριαρχεύσας τῷ Ἀριστοτέλει ἑπόμενος ἦν· οὗ χάριν καὶ τοῦ Πλήθωνος ὑπὲρ Πλάτωνος σύγγραμμα τῷ πυρὶ παρέδωκε.

## § ΠΖ'.

Κατὰ δὲ τὴν δεκάτην ἑβδόμην καὶ Κύριλλος ἤκμασεν ὁ Λούκαρις, καὶ Μελέτιος ὁ Κρής, καὶ Θεόφιλος ὁ Κορυδαλεὺς ὁ ἐν Ῥώμῃ μὲν τὰ ἐγκύκλια παιδευθείς, ἐν Παταβίῳ δὲ τὴν φιλοσοφίαν διδαχθείς, οὗ τινος ὀπαδοὶ ἐγένοντο καὶ ἄλλοι μὲν οὐκ ὀλίγοι, καὶ Διονύσιος ὁ Ναυπλίας Μητροπολίτης χρηματίσας, καὶ Νεκταρίας ὁ ἐν Ἱεροσολύμοις Πατριαρχεύσας· κατ' αὐτὸν ἤνθησε τὸν χρόνον καὶ Γεώργιος ὁ Κορέσιος ὁ φιλοσοφίᾳ καὶ Θεολογίᾳ καὶ Ἰατρικῇ οὐ

μικρὸν ἐνασχοληθεὶς καὶ Γεράσιμος ὁ Βλάχος· μετὰ τοῦτον καὶ Ἀντώνιος ὁ Κοραῆς, καὶ Ἰωάννης ὁ Κοτούνιος, ὁ περὶ τὰ μέσα τῆς αὐτῆς ἑκατονταετηρίδος μετὰ κλέους ἐν Παταβίῳ τὴν φιλοσοφίαν διδάξας, καὶ τὸ Ἑλληνικὸν συστήσας φροντιστήριον· καὶ Σεβαστὸς ὁ Τραπεζούντιος ὁ ἐν Κωνσταντινουπόλει πρῶτον, εἶτα ἐν Βουκουρεστίῳ σχολαρχήσας.

## § ΠΗ.'

Περὶ τὰς ἀρχὰς τῆς δεκάτης ὀγδόης ἑκατονταετηρίδος, καὶ Χρύσανθος διέπρεψεν ὁ Νοταρᾶς, καὶ Ἀλέξανδρος ὁ Μαυροκορδάτος, καὶ Νικόλαος ὁ υἱὸς αὐτοῦ μετὰ τούτους, καὶ Μελέτιος ἐφάνη ὁ Ἀθηνῶν· καὶ Μηνιάτης ὁ ἐκ Κεφαλληνίας· κατ' αὐτὸν δὲ τὸν χρόνον καὶ ἐφεξῆς διδάσκοντες ἐκλεΐσθησαν καὶ ἄλλοι μὲν πολλοί, μάλιστα δὲ Ἀντώνιος καὶ Χουρμούζιος ἐν Βυζαντίῳ, Νικόλαος ὁ Καλιάκης, καὶ Θωμᾶς Κατάμης, καὶ Νικόλαος Κομνηνὸς ὁ Παπαδόπουλος, οἱ ἐκ Κρήτης, καὶ Ἀντώνιος Στρατηγὸς ὁ Κερκυραῖος ἐν Παταβίῳ, Ἰωάννης καὶ Γεώργιος οἱ ἐξ Ἀθηνῶν Πατοῦσαι, καὶ Ἀντώνιος Κατήφορος ὁ ἐκ Ζακύνθου ἐν τῷ ἐν Ἑνετίῃσι Λαγγινιανῷ φροντιστηρίῳ, Μακάριος καὶ Γεράσιμος ἐν Πάτμῳ, Σουγδουρῆς καὶ Μεθόδιος καὶ Βαλάνιος ἐν Ἰωαννίνοις, Μάρκος ὁ Κύπριος καὶ Γεώργιος ὁ Τραπεζούντιος καὶ Ἀλέξανδρος ὁ ἐκ Τυρνάβου ἐν Βουκουρεστίῳ.

## § ΠΘ'.

Ἀλλ' οὗτοι πάντες σχεδὸν περιπατητικοὶ ἦσαν, μόνῳ τῷ Ἀριστοτέλει ἑπόμενοι καὶ μηδὲν ἐν τῇ ἐκείνου δόξῃ ἐναντίον δεχόμενοι. Ὅθεν καὶ τὰ τῆς φιλοσοφίας οὐδόλως ἢ μικρὸν παρ' ἡμῖν προβαίνειν συνέβαινεν, ἕως οὗ ὁ ἀοίδιμος Εὐγένιος, ὁ ἐκ Ζακύνθου, παντοίας ὕλης συγγράψας συγγράμματα καὶ μάλιστα τὴν κατὰ τὸ 1766 ἐν Λειψίᾳ ἐκδοθεῖσαν Λογικὴν αὐτοῦ, καὶ τὴν κατὰ τὸ 1805 ἐν Βενετίᾳ τρίτομον Μεταφυσικήν, καὶ εἰς διάφορα τῆς Ἑλλάδος διδάξας μέρη καὶ εἰς γνῶσιν νεωτέρων ἀνακαλύψεων τὸ Ἑλληνικὸν διερεθίσας πνεῦμα πρῶτος παρ' ἡμῖν καὶ τῆς νεωτέρας φιλοσοφίας εἰσηγητὴς καὶ τὴν εἰς τὴν παιδείαν ἀκμαιοτέρας προόδου αἴτιος ἐγένετο.

## § ϟ.'

Σύγχρονος δὲ αὐτοῦ ὑπῆρξε καὶ Νικηφόρος ὁ Θεοτόκης, ὅστις διάφορα μὲν συνέταξε πονήματα, διὰ δὲ τῶν φυσικῶν καὶ μαθηματικῶν αὐτοῦ συγγραμμάτων, οὐ μικρὸν εἰς τὴν διάδοσιν τῆς τῶν Μαθηματικῶν καὶ Φυσικῶν ἐπιστημῶν γνώσεις παρὰ τῷ ἡμετέρῳ γένει συνετέλεσε.



## § ϟΑ'.

Μετὰ τοὺς ἄνδρας τούτους διέπρεψεν οὐ μόνον παρ' ἡμῖν, ἀλλὰ καὶ παρ' αὐτοῖς τοῖς ἀλλοεθνέσι· καὶ διὰ τὸ πολυειδὲς τῶν γνώσεων, καὶ τὴν Ἑλληνικὴν παιδείαν, καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ ὁ Ἀδαμάντιος Κοραῆς, οὗ τινος τὰ συγγράμματα καὶ ἀνεζωπύρησαν τὸν ὑπὲρ τῆς παιδείας καὶ βελτιώσεως τοῦ ἔθνους ἡμῶν καὶ τῆς ἐλευθερίας ἐνθουσιασμόν, καὶ δεικνύουσι, τίς οὗτος ὑπῆρξεν ὁ ἀνήρ. Μετὰ κλέους δὲ ἐδίδαξαν ἐν Χίῳ μὲν Δωρόθεος ὁ Πρωΐος, Ἰωάννης Τσελεπῆς, Ἀθανάσιος ὁ Πάριος καὶ Νεόφυτος ὁ Βάμβας ὕστερον· ἐν Πάτμῳ δὲ Δανιὴλ ὁ Κεραμεύς· ἐν Κυδωνίαις Γρηγόριος Σαράφης καὶ Βενιαμὴν ὁ Λέσβιος· ἐν Σμύρνῃ Κούμας καὶ Οἰκονόμος, καὶ πρὸ αὐτῶν Ἱερόθεος καὶ Χρύσανθος· ἐν Μηλέαις Γρηγόριος ὁ Κωνσταντᾶς, καὶ Ἄνθιμος ὁ Γαζῆς· ἐν Πελοποννήσῳ Ἀγάπιος καὶ Ἡσαΐας Καλασσαρᾶς καὶ Ἰωάννης Βαλάνος καὶ Ψαλλίδας· ἐν Βουκουρεστίῳ Νεόφυτος ὁ Πελοποννήσιος, Λάμπρος Φωτιάδης, Κωνσταντῖνος Βαρδαλάκος, Νεόφυτος Δούκας καὶ Στέφανος Κομηττᾶς· ἐν Ἰασίῳ Στέφανος Δούγκας, καὶ Δημήτριος Γοβδελᾶς, καὶ ἄλλοι ἀλλαχοῦ· περὶ ὧν ἁπάντων ὡς καὶ περὶ ἄλλων πολλῶν, ὅσοι καὶ διδάσκοντες καὶ συγγράφοντες τὸ ἡμέτερον ὠφέλησαν ἔθνος, καὶ περὶ τῶν ὑπ' αὐτῶν πονηθέντων, εἴ τις μερικωτέραν προστησάμενος πραγματείαν, ἱστορικώτερον καὶ ἀκριβέστερον διαλάβοι, οὐ μικρὸν δῶρον καὶ τῷ ἡμετέρῳ ἔθνει καὶ τῇ παιδείᾳ αὐτῇ καὶ τῇ δικαιοσύνῃ δωρούμενος φανεῖται.

# ΚΕΦΑΛΑΙΟΝ Β'.

## § ϟΒ'

Καὶ ταῦτα μὲν περὶ ἀρχῆς καὶ προόδου τῆς φιλοσοφίας ἐν γένει· Ἐπειδὴ δὲ ταύτης τὸ μὲν περὶ τὸ διανοεῖσθαι ἐνασχολεῖται, καὶ Λογικόν, ἡ Λογικὴ ὠνομάσθη· τὸ δὲ περὶ ἃ τὸ διανοεῖσθαι ἐνεργεῖται, καὶ Μεταφυσικὴ προσηγορεύθη· τὸ δὲ περὶ τὰ πρακτέα, καὶ ἠθικὴ ἐκλήθη· τὸ δὲ τὰς δυνάμεις θεωρεῖν, δι' ὧν ἡ ψυχὴ τὰς τοιαύ-

τας ἐκτελεῖ θεωρίας, καὶ Ψυχολογία ὑπό τινων λέγεται· ἀνάγκη ἐστὶ πρὶν περὶ ἐκείνων κατὰ μέρος διαλάβωμεν, ἵνα τὰ περὶ ταύτην γενικώτερον θεωρήσωμεν.

§ ϞΓ'.

Ἡ Ψυχολογία, ἢ τὰ περὶ αὐτὴν τὴν φύσιν τῆς ψυχῆς θεωρεῖ, καὶ Μεταφυσικὸν τῆς Φιλοσοφίας μέρος θεωρηθήσεται, ἢ τὰ περὶ τὰς δυνάμεις καὶ τὰς ἐνεργείας αὐτῆς διερευνᾷ, καὶ Ψυχολογικὴ ἀνθρωπολογία καλεῖται, περὶ ἧς ἐνταῦθα διαληφθήσεται.

§ ϞΔ.'

Ψυχὴ ὀνομάζεται, ἡ αὐτοκίνητος ἐκείνη καὶ αὐτοενεργὸς οὐσία, ἡ τὸ σῶμα τοῦ ἀνθρώπου ἐμψυχοῦσα, ἥτις διαφόρους ἔχει δυνάμεις νοητικὰς δηλ. βουλητικάς, ἢ προαιρετικάς, καὶ ἐκτικάς, καὶ διαφόρους δι'αὐτῶν ἐκτελεῖ ἐνεργείας, περὶ ὧν ἐνταῦθα διαληπτέον.᾿Επειδὴ δὲ τὰ περὶ αὐτὰς διά τινων σωματικῶν μέσων, αἰσθήσεων καλουμένων, διενεργεῖ, τὰ περὶ ταύτας πρῶτον ὅσον ἐγχωρεῖ εἰς τὴν παροῦσαν τῆς ψυχολογίας πραγματείαν θεωρητέον.

§ ϞΕ'.

Αἰσθήσεις σωματικαὶ τοῦ ἀνθρώπου μερικώτεραι ἀριθμοῦνται πέντε· ***Ἁφή, Γεῦσις, Ὄσφρησις, Ἀκοή, Ὅρασις***· ὄργανα δὲ δι' ὧν διαφόρως διατίθενται, τῆς μὲν ἁφῆς πᾶσα ἐστὶν ἡ τοῦ σώματος ἐξωτερικὴ καὶ ἐσωτερικὴ ἐπιφάνεια, τῆς δὲ γεύσεως ἡ γλῶσσα καὶ ὁ οὐρανίσκος· τῆς ὀσφρήσεως ἡ ἐσωτερικὴ τῆς ῥινὸς ἐπιφάνεια· τῆς ἀκοῆς τὰ ὦτα· καὶ τῆς ὁράσεως οἱ ὀφθαλμοί.

§ ϞϚ'.

Καὶ τῆς μὲν ἁφῆς ἀντικείμενόν ἐστι πάντα τὰ ἁπτά, λαμβανόμενα δι' αὐτῆς, καὶ παρέχοντα τὸ αἴσθημα ***τοῦ θερμοῦ, τοῦ ψυχροῦ, τοῦ λείου, τοῦ τραχέως, τοῦ μαλακοῦ, τοῦ σκληροῦ***, πρὸς δὲ καὶ ***τῆς ἐκτάσεως, τοῦ σχήματος, τῆς νοήσεως, τῆς πείνης, τῆς δίψης***, κτλ.

§ ϞΖ'.

Τῆς δὲ γεύσεως πάντα τὰ γευστά· αἰσθανόμεθα δὲ δι' αὐτῆς ***τοῦ γλυκέως, τοῦ πικροῦ, τοῦ ὀξέως, τοῦ ἁλμυροῦ***, κτλ.



§ ϞΗ'.

Καὶ τῆς μὲν ὀσφρήσεως, πάντα τὰ ὀσφραντικά· καὶ αἰσθάνεται δὲ δι' αὐτῆς ἡ ψυχὴ ***τοῦ εὐώδους, τοῦ δυσώδους***, κτλ.

§ ϞΘ'.

Τῆς δὲ ἀκοῆς πάντα τὰ ἀκουστά· μετοχετεύεται δὲ δι' αὐτῆς εἰς τὴν ψυχὴν τὸ αἴσθημα ***τοῦ ὀξέως ἤχου, τοῦ βαρέως***, κτλ.

§ Ρ'.

Καὶ τέλος τῆς ὁράσεως ἀντικείμενον ἐστὶ πάντα τὰ ὁρατά· δι' αὐτῆς δὲ λαμβάνει ἡ ψυχὴ τὰς ἰδέας τῶν χρωμάτων, τῶν σχημάτων, τοῦ μεγέθους κτλ.

§ ΡΑ'.

Ἐὰν δὲ καλῶς τὰ αἰσθητήρια ταῦτα παρατηρήσωμεν ὄργανα, καὶ τὸν τρόπον καθ' ὃν προσβαλλόμενα διατίθενται,βεβαιούμεθα πρῶτον, ὅτι πάντα εἰς τὰ τῆς ἁφῆς ἀνάγεσθαι ἔχουσι, καὶ ὅτι μία κυρίως ἐστὶν αἴσθησις, ***ἡ ἁφή***.

§ ΡΒ'.

Δεύτερον, ὅτι πρὸς τελείαν καὶ ἀκριβῆ αὐτῶν ἐνέργειαν, ἀνάγκη ἐστὶ πρῶτον, ἵνα τέλεια καὶ ὑγιῆ ὑπάρχωσι· καθότι ἄλλως διαφόρως τῶν αἰσθητῶν ἀντιλήψονται ἀντικειμένων.

§ ΡΓ'.

Δεύτερον, ἵνα τοῦ αἰσθητοῦ ἀναλόγως ἀπὸ τοῦ αἰσθητηρίου ἀπέχει ὀργάνου, καὶ μετρίως καὶ ἀναλόγως αὐτῷ προσβάλλει.

§ ΡΔ'.

Τρίτον, ἵνα ἐπὶ ἀβεβαίου αἰσθήματος, καὶ ἕτερον συνεργὸν πρὸς διάκρισιν παραλάβῃ αἰσθητήριον.

§ ΡΕ'.

Τέταρτον, ἵνα ἕκαστον αἰσθητήριον μετὰ προσοχῆς τὸ ἴδιον ἐκτελῇ ἔργον, καὶ μὴ ὑπὸ τῆς ἐνεργείας ἄλλου παρεμποδίζηται.

§ ΡϚ'.

Παρατηρεῖται προσέτι, ὅτι ἡ γύμνασις αἰσθητικωτέραν ἀποτελεῖ τὴν αἴσθησιν· καὶ ὅτι διά τινων ὀργάνων αἰσθήσεις τινὲς ὀξύτεραι

γίνονται· οὕτω φερ' εἰπεῖν οἱ κυνηγοί, οἱ ναῦται κτλ. ὀξυδερκέστεροι εἰσίν· οὕτω διὰ διοπτηρίων ὀργάνων ἡ ὅρασις ἐνεργητικωτέρα καθίσταται. Παρατηρεῖται δεύτερον, ὅτι εἰ καὶ δύο τινῶν αἰσθανόμεθα ὀργάνων, τούτων τὰ νεῦρα εἰς ἕνα ἀποπερατοῦνται τοῦ ἐγκεφάλου τόπον.

## § ΡΖ'.

Καὶ τοιαῦται μὲν αἱ σωματικαὶ τοῦ ἀνθρώπου αἰσθήσεις. Τοιαῦτα δὲ καὶ τὰ φαινόμενα αἰσθητήρια ὄργανα· πιθανὸν δὲ καὶ ἕτερα ὑπάρχειν αἰσθητήρια, δι' ὧν διαφόρους ἡ ψυχὴ ἐκτελεῖ ἐνεργείας.

## § ΡΗ'.

Αἱ διὰ τῶν φανερῶν, ὡς καὶ διὰ τῶν ἀφανῶν ὀργάνων ἐνεργοῦσαι τῆς ψυχῆς γνωστικαὶ δυνάμεις, πολλαὶ ἀριθμηθῆναι ἔχουσι, καὶ εἰσὶν αἴσθησις, ἢ αἰσθητικόν· προσοχή, ἢ προσεκτικόν· σκέψις, ἢ σκεπτικόν· κρίσις, ἢ κριτικόν· συνείδησις, ἢ συνειδητικόν· φαντασία, ἢ φανταστικόν· μνήμη, ἢ μνημονικόν· νοῦς, ἢ νοητικόν· λόγος ἢ λογικόν.

## § ΡΘ'.

Καὶ αἰσθητικὸν μὲν ὀνομάζεται ἡ δύναμις, δι' ἧς ἡ ψυχὴ τῶν εἰς αἰσθητήριόν τι προσγινομένων, ὑπὸ τῶν ἐκτὸς πραγμάτων προσβολῶν αἰσθάνεται.

## § ΡΙ'.

Προσεκτικὸν δέ, δι' ἧς εἰς ταύτην μᾶλλον, ἢ ἐκείνην τὴν προσβολὴν προσέχειν δύναται.

## § ΡΙΑ'.

Σκεπτικόν, δι' ἧς δύο τινῶν προσβολῶν τὴν αἴσθησιν παραβάλλει.

## § ΡΙΒ'.

Κριτικόν, δι' ἧς σκεφθεῖσα, ταύτην μᾶλλον, ἢ ἐκείνην ἀποδέχεται.

## § ΡΙΓ'.

Συνειδητικόν, δι' ἧς εἰς σεαυτὴν ἐπιστρέφουσα, ἑαυτὴν παντοίως διατιθεμένην θεωρεῖ, καὶ αὐτὴ ἑαυτὴν διαγινώσκειν δύναται.

## § ΡΙΔ'.

Φανταστικόν, δι' ἧς ἀπόντα, ὡς παρόντα καθ' ἑαυτὴν παρίστησι,



καὶ διάφορα ἀναπλάττειν δύναται, ἐκ τῶν αἰσθητικῶν λαβοῦσα τὰς ἀφορμάς.

## § ΡΙΕ'.

Μνημονικόν, δι' ἧς ἡ ψυχὴ διαφόρως διατιθεμένη, ὅ,τι καὶ ἄλλοτε ὡσαύτως διετέθη, ἀναπολεῖ.

## § ΡΙϚ'.

Νοητικόν, δι' ἧς ἐκ μερικῶν, γενικὰς λαμβάνει ἐννοίας.

## § ΡΙΖ'.

Καὶ λογικόν, δι' ἧς ἐκ δύο δοθεισῶν κρίσεων, τρίτην τινὰ συμπεραίνειν δύναται. Τούτων δὲ τῶν δυνάμεων τὴν μὲν κρίσιν καὶ τὸν νοῦν καὶ τὸν λόγον ἀνωτέρας τῆς ψυχῆς δυνάμεις τινὲς ὀνομάζουσι· τὰς δὲ λοιπὰς κατωτέρας δυνάμεις τῆς ψυχῆς καλοῦσιν· ἐὰν δέ τις καλῶς πάσας τὰς ψυχικὰς ταύτας δυνάμεις παρατηρήσῃ, καὶ ὡς πρὸς τὸ γινώσκειν αὐτὰς ἀναφέρῃ, διαφόρους τοῦ αἰσθάνεσθαι τρόπους αὐταῖς εὑρήσει.

## § ΡΙΗ'.

Διὰ τῶν τοιούτων δυνάμεων ἡ ψυχὴ ἐν γένει μὲν ἐννοεῖ, κρίνει, διανοεῖται, ἢ συλλογίζεται καὶ διατίθησι καλῶς τὰ γνωσθέντα· διὰ δὲ τοῦ προσεκτικοῦ ἐν μέρει, οὐ μόνον τὰ ὅλα θεωρεῖ, ἀλλὰ καὶ τὰς ἰδιότητας αὐτῶν κατὰ μέρος ἐξετάζει.

## § ΡΙΘ'.

Διὰ τῆς φαντασίας, ἢ φανταστικοῦ, συναποτελεῖ ὅλον, ἢ ἐκ πολλῶν ἀσυναρμόστων ὅλων, ἢ ἐκ πολλῶν ἀσυναρμόστων μερῶν· προστίθησι πολλάκις εἰς τὸ αὐτὸ ὅλον, τὸ αὐτὸ μέλος, ἢ ἀφαιρεῖ μέλος ἀπὸ τοῦ ὅλου, ἢ μετατίθησι τὰ μέλη αὐτοῦ καὶ ἀποδίδωσιν ἰδιότητας, εἰς πρᾶγμα τοιούτων ἰδιοτήτων ἀνεπίδεκτον· μεγάλα ποιεῖ τὰ σμικρά, καὶ σμικρὰ τὰ μεγάλα· ἐκ τούτων δὲ καὶ τῶν τοιούτων διάφορα ἄλλα ἀναπλάττει φαντάσματα.

## § ΡΚ'.

Διὰ τῆς αὐτῆς δυνάμεως, καὶ διὰ τοῦ μνημονικοῦ, ἑνός τινος προσλαβόντος πράγματος, ἢ μιᾶς τινος ἐπελθούσης ἐννοίας, συναποτελεῖ ὁ ἄνθρωπος καὶ διάφορα αἰσθήματα, καὶ διαφόρους ἰδέας,

ὧν ἄλλοτε μετὰ τοῦ προσβαλόντος πράγματος, ἢ μετὰ τῆς ἐπελθούσης ἐννοίας τὸ αἴσθημα, ἢ τὴν ἔννοιαν ἔλαβεν.

## § ΡΚΑ'.

Τῆς αὐτῆς, ὡς φαίνεται, δυνάμεως καὶ τοῦ μνημονικοῦ ἀποτελέσματα εἰσὶν ἐν μέρει, καὶ αἱ διάφοροι συμπάθειαι καὶ ἀντιπάθειαι, ἡ τῶν σημαινομένων μετὰ τῶν σημείων αὐτῶν ἕνωσις, τὰ διάφορα ἐνύπνια κτλ. Ὅθεν μεγάλης προσοχῆς χρεία εἰς τὸ τὴν τοιαύτην δύναμιν τῷ λόγῳ καθυποβάλλειν, καὶ εἰς τὸ μὴ ἀλογίστως δέχεσθαι ὡς ὑπάρχοντα τὰ ὑπ' αὐτῆς φανταζόμενα.

## § ΡΚΒ'.

Οὐ μόνον δὲ τῆς φαντασίας, ἀλλὰ καὶ πάσης δυνάμεως ἡ ἐπαναλαμβανομένη ἐνέργεια ἐμποιεῖ τὴν ἕξιν αὐτῆς· οὕτω φερ' εἰπεῖν· καὶ κρίνει εὐκολώτερον ἡ ψυχή, καὶ μνημονεύει καὶ διάφορα ἐκτελεῖ ἔργα, ὅταν πολλάκις τὴν αὐτὴν ἐπαναλάβῃ ἐνέργειαν· διὰ τοῦτο καὶ πᾶσαν ἕξιν τῷ λόγῳ σύμφωνον εἶναι δεῖ, καὶ προφυλάττεσθαι τὸν ἄνθρωπον ἀνάγκη, ἵνα μὴ εἰς κακὰς ἕξεις ὑπόδουλος γένηται·

## § ΡΚΓ'.

Τοῦ δὲ νοητικοῦ ἡ δύναμις, ἐὰν μὲν ταχέως τὰς κεκρυμμένας, καὶ σμικροτάτας διακρίνῃ τῶν πραγμάτων διαφοράς, ὀξύνοια μερικώτερον ὀνομάζεται. Ἐὰν δὲ τὰς κεκρυμμένας ὁμοιότητας, ἀγχίνοια καλεῖται.

Λέγεται δὲ προσέτι προγνωστικὸν μέν, ὅτε δι' ἀλλεπαλλήλων παρατηρήσεων τὰ μέλλοντα προγινώσκειν δύναται. Μεγαλόνοια δὲ ἢ Δαιμόνιον, ὅταν καὶ ὁ νοῦς, καὶ αἱ λοιπαὶ τῆς ψυχῆς δυνάμεις, κατὰ ὑπερέχοντα τελειότητος βαθμὸν εἰς ἓν συνέλθωσι.

## § ΡΚΔ'.

Τοιαῦται λοιπὸν εἰσὶν αἱ γνωστικαὶ τοῦ ἀνθρώπου δυνάμεις· τοιαῦται καὶ αἱ δι' αὐτῶν ἐκτελούμεναι ἐνέργειαι· ἀλλ' ἐπειδὴ καὶ ὁσάκις ἡ ψυχὴ δι' αὐτῶν διατίθεται, προσγίνεται εἰς αὐτὴν καὶ εὐάρεστόν τι, ἢ δυσάρεστον αἴσθημα, ἢ πάθημα, διεγείρεται καὶ διάθεσίς τις τοῦ κατέχειν μὲν τὸ πρῶτον, ἀποβάλλειν δὲ τὸ δεύτερον, Γνωστοῦ δὲ ὄντος καὶ τοῦ μέσου, δι' οὗ ἀποβάλλεται ἢ κατέχεται τὸ τοιοῦτον αἴσθημα, συνδιεγείρεται καὶ ἔφεσις, ἢ ἀποστροφὴ εἰς αὐτό. Ἡ δύναμις λοιπόν, δι' ἧς ὁ ἄνθρωπος ἐφίεται τινός, ἢ ἀποστρέφεταί τι, δύναμις ὀρεκτική, προαιρετική, βουλητική, ἢ προαιρετικὸν ἢ βουλητικὸν ἐν γένει ὀνομάζεται.



## § ΡΚΕ'.

Ὅταν ἡ ὀρεκτικὴ δύναμις ἐφίεται τοῦ ἡδέως μόνον, ἢ συμφέροντος, μισεῖ δὲ λυπηρόν, ἢ βλάπτον, τότε αἰσθητική, ἢ χείρων ὀρεκτικὴ δύναμις λέγεται. Ὅταν δὲ πρὸς ἐκτέλεσιν τῶν τῷ λόγῳ συμφωνούντων ἀποφυγὴν δὲ τῶν διαφωνούντων ἐνασχολεῖται, τότε λογικὴ ἢ κρείττων ὀρεκτικὴ δύναμις ἢ θέλησις ἢ θελητικὸν καλεῖται.

## § ΡΚϚ'.

Ἐὰν δὲ σφοδρότερόν πως ἢ ἀγαπήσῃ τι ὁ ἄνθρωπος, ἢ ἀποστραφῇ, τότε πάθος ὀνομάζεται τὸ τοιοῦτον τῆς ὀρεκτικῆς δυνάμεως ἀποτέλεσμα· πάθος λέγεται προσέτι καὶ σφοδρότερόν τι τῆς ψυχῆς συναίσθημα, ἢ πάθημα· ὅθεν καὶ εἰς δύο τὰ πάθη τῆς ψυχῆς διαιρεθῆναι δύνανται· εἰς πάθη ἐφέσεως, ἢ ἀποστροφῆς, ὡς ἀγάπη, μῖσος κτλ. καὶ εἰς πάθη κατάστασίν τινα τῆς ψυχῆς ἐμφαίνοντα, τοιαῦτα δὲ εἰσὶ χαρά, λύπη κτλ.

## § ΡΚΖ'.

Ἀλλ' εἰ καὶ πολλάκις ἡ ψυχή, ὡς πάσχουσα διατίθεται, πᾶς τις ὅμως αὐτὴν καὶ οἴκοθεν, καὶ ἐλευθέρως ἐνεργοῦσαν σύνοιδεν· οὕτω φερ' εἰπεῖν· καὶ κρίνειν, καὶ διανοεῖσθαι, καὶ βούλεσθαι, καὶ παντοίως τὸ σῶμα, καὶ ὁλικῶς καὶ μερικῶς κινεῖν δύναται· εἰ καὶ πολλαὶ τῶν σωματικῶν κινήσεων καὶ ἀγνοούσης γίνονται· ἡ τοιαύτη λοιπὸν οἴκοθεν καὶ ἐλευθέρως ἐνεργεῖν δύναμις, ὡς μὲν πρὸς τὸ ἐλεύθερον θεωρουμένη, αὐτεξούσιον ὀνομάζεται· ὡς δὲ πρὸς τὸ ἐνεργεῖν, ἐνεργητικὴ δύναμις, ἢ αὐτοκίνητος ἢ αὐτοενεργὸς καλεῖται· ἡ αὐτὴ δὲ καὶ ἑκτικὴ λέγεσθαι δύναται, ὡς εἰς ἕξιν μεταποιεῖσθαι ἔχουσα, εἰ καὶ ἡ ἕξις καὶ ἐπὶ τῆς παθητικῆς τῆς ψυχῆς λέγεται καταστάσεως.

## § ΡΚΗ'.

Αἱ τοιαῦται τῆς ψυχῆς δυνάμεις, διάφοροι εἰς διαφόρους παρατηροῦνται· οὕτω φερ' εἰπεῖν· ἄλλος μὲν ὑπερέχει κατὰ τὸ αἰσθητικόν, ἄλλος δὲ κατὰ τὸ προσεκτικόν, καὶ σκεπτικόν, καὶ ἀφαιρετικόν, καὶ ἄλλος κατὰ τὸ μνημονικόν, καὶ φανταστικὸν κτλ. καὶ ἐκεῖνος μὲν εἰς ἐπιστημονικὰς θεωρίας ἐπιτηδειότερος φαίνεται· οὗτος δὲ φιλοτεχνότερος ἐστί· κτλ.

## §. ΡΚΘ'.

Τῶν τοιούτων δὲ διαφορῶν αἰτίαι παρατηροῦνται καὶ φυσικαὶ

καὶ ἠθικαί· καὶ φυσικαὶ μὲν εἰσίν, αὐτὴ τοῦ ἀνθρώπου ἡ διάφορος φύσις, ἡκράσις, τὸ κλῖμα, ἡ ἡλικία, ἡ τροφή, τὸ γένος· ἠθικαὶ δέ, ἀγωγή, θρησκεία, πολιτεία, δίαιτα.

§ ΡΛ'.

Οὕτω φέρ' εἰπεῖν· οἱ τὰς ἶνας λειοτέρας ἔχοντες, ἀγγεῖα στενώτερα, σφυγμὸν ὀξύτερον, χρῶμα εἰς τὸ ὠχρὸν ἀποκλῖνον, καὶ χολερικῆς ὠνομάζοντο κράσεως, καὶ ὀρθότερον τὴν κρίσιν παρατηροῦνται· οἱ τὰς ἶνας δὲ τραχυτέρας, τὰ ἀγγεῖα εὐρυχωρότερα, σφυγμὸν μέγαν, χρῶμα ὠχρόλευκον, μελαγχολικοί, καὶ φιλοπονώτεροι, καὶ μνημονικώτεροι εἰσίν. Ὅταν πάλιν αἱ ἶνες χαλαρώτεραι τρόπον τινὰ ὦσι, τὰ ἀγγεῖα μετρίως εὐρύχωρα, ὁ σφυγμὸς μέτριος, τὸ χρῶμα ἐρυθρόλευκον καὶ φαιδρόν, αἱματώδους κράσεως λέγονται καὶ εὐφυέστεροι νομίζονται· ὅσοι τέλος ἶνας μὲν ἔχουσιν ἀραιάς, ἀγγεῖα λεπτότερα, σφυγμὸν μετρίως σφοδρόν, χρῶμα ὡς ἐπὶ τὸ πλεῖστον λευκόν, φλεγματικῆς κράσεως ὀνομάζονται, καὶ φιλανθρωπότεροι ὑπολαμβάνονται· καὶ σύνθετοι δὲ κράσεις ἐκ τῶν ἁπλουστέρων τούτων ἀναπλάττονται διάφοροι, ὡς κατὰ τὸ μᾶλλον καὶ ἧττον αὐτῶν μετέχουσι.

§ ΡΛΑ'.

Ὡς ἐκ τοῦ κλίματος πάλιν, ἡλικίας, τροφῆς, γένους, μεγάλαι εἰς τὸν ἄνθρωπον φαίνονται διαφοραί· οὕτω φερ' εἰπεῖν οἱ κατοικοῦντες θερμότερα, ἢ ψυχρότερα, ἢ εὐκραέστερα κλίματα· οἱ νεώτεροι, οἱ πρεσβύτεροι, οἱ λαμβάνοντες τροφὰς παχυτέρας, ἢ λεπτοτέρας, ἄνδρες, γυναῖκες κατὰ τὸ μᾶλλον καὶ ἧττον διαφέροντες, κατὰ τὰς ψυχικὰς δυνάμεις παρατηροῦνται.

§ ΡΛΒ'.

Ὡσαύτως ἄνθρωποι διάφορον λαβόντες ἀγωγήν, καὶ διάφορον ἔχοντες θρησκείαν, πολίτευμα, γλῶσσαν, δίαιταν, διάφοροι καὶ κατὰ τὰς ψυχικὰς αὐτῶν δυνάμεις εὑρίσκονται· καὶ ἐν γένει φύσις καὶ λόγος καὶ ἄσκησις μεγάλας εἰς τὸν ἄνθρωπον παρεισάγει διαφοράς· οὐδεὶς δὲ ἐστὶν ὅστις διὰ τοῦ λόγου καὶ τῆς ἀσκήσεως οὐ δύναται προβαίνειν εἰς τὸ σκοπούμενον, καὶ διευθύνων τὰς μὲν γνωστικὰς αὐτοῦ δυνάμεις πρὸς γνῶσιν τοῦ ἀληθοῦς· τὰς δὲ πρακτικὰς καὶ ἐκτικὰς εἰς ἀγάπην καὶ ἕξιν τοῦ ἀγαθοῦ, καὶ ἀληθὴς τφόντι ἄνθρωπος ἀποκαθίστασθαι.

§ ΡΛΓ'.

Διὰ τῶν τοιούτων λοιπὸν δυνάμεων ὁ ἄνθρωπος φιλοσοφῶν, πότε



μὲν καὶ γινῶσκον ὑποκείμενον γίνεται, καὶ γινωσκόμενον ἀντικείμενον αὐτὸν ἑαυτὸν θεωρῶν ὡς ἐννοίας ἔχοντα, ἢ ἐννοοῦντα, ὡς κρίνοντα ἢ δύο ἐννοίας συνάπτοντα, ὡς διανοούμενον ἢ συλλογιζόμενον, ἢ διὰ δύο κρίσεων ἄλλην τινὰ τρίτην συμπεραίνοντα, ὡς πολλὰς διανοίας ἐννοοῦντα, καὶ ἓν ὅλον συμπληροῦντα· καὶ ἡ τοιαύτη θεωρία λογικὴ ὀνομάζεται.

§ ΡΛΔ'.

Πότε δὲ περὶ ἃ τὸ διανοεῖσθαι ἐνασχολεῖται διερευνᾷ, καὶ Μεταφυσικὴ ἡ τοιαύτη ἔρευνα καλεῖται.

§ ΡΛΕ'.

Καὶ ἄλλοτε τὰς τοιαύτας δυνάμεις ἐπὶ τῶν πρακτέων ἐπιστήσασα, τίνα ταῦτά εἰσιν ἐξετάζει· ἡ δὲ τοιαύτη ἐξέτασις Ἠθικὴ προσαγορεύεται.

§ ΡΛϚ'.

Καὶ ταῦτα μὲν περὶ τῶν τῆς ψυχῆς δυνάμεων καὶ τῶν ἐνεργειῶν αὐτῆς· ἤδη δὲ εἰς τὴν θεωρίαν τῶν τριῶν τῆς φιλοσοφίας μερῶν μεταβαίνομεν, ἀπὸ τῆς λογικῆς ἀρχόμενοι.

---

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

§ ΡΛΖ'

Λογικὴ ἐστὶν ἐπιστήμη τοῦ διανοεῖσθαι, ἢ συλλογίζεσθαι· ἢ ἐπιστημονικὴ θεωρία τοῦ συλλογισμοῦ, τοῦ τοιούτου δὲ ὀνόματος ἔτυχεν, ὡς τὴν ἐνέργειαν τοῦ λόγου ῥυθμίζουσα.

§ ΡΛΗ'.

Τῆς λογικῆς πατὴρ κυρίως Ἀριστοτέλης ὀνομασθεῖναι δύναται, εἰ καὶ πρὸ αὐτοῦ Ζήνων ὁ Ἐλεάτης, καὶ Εὐκλείδης ὁ Μεγαρεὺς περὶ αὐτῆς ἐπραγματεύσαντο, διαλεκτικὴν ὀνομάσαντες.

§ ΡΛΘ'.

Καὶ Ἐπίκουρος εἰς αὐτὴν ἐνησχολήθη, κανόνα καλέσας αὐτὴν

καὶ Ζήνων ὁ Κιττιεύς· καὶ ἄλλοι οὐκ ὀλίγοι τὰ περὶ αὐτῆς ἐθεώρησαν.

§ ΡΜ΄.

Τῶν δὲ νεωτέρων οἱ μᾶλλον εἰς τὴν πραγματείαν ταύτην ἐνασχοληθέντες, Βάκων ἐστιν ὁ Βερουλάμιος, Καρτέσιος ὁ Γάλλος, Λώκκιος, Λεϊβνίτιος, Κάντιος κτλ.

§ ΡΜΑ΄.

Παρ' ἡμῖν δὲ λογικαὶ πραγματεῖαι μέχρι τοῦδε ἐκδοθεῖσαι, εἰσὶ τὸ περὶ λογικῆς Ἰωάννου τοῦ Δαμασκηνοῦ σχεδίασμα· ἡ τοῦ Βλεμίδου λογική· ἡ τοῦ Γεωργίου Σουγδουρῆ· ἡ τοῦ Εὐγενίου· ἡ τοῦ Κονδιλλακίου ὑπὸ Δανιὴλ Φιλιππίδου μεταφρασθεῖσα· ἡ τοῦ Σοαβίου ὑπὸ Γρηγορίου Κωνσταντᾶ· ἡ τοῦ Κούμα καὶ ἡ τοῦ Νεοφύτου Δούκα.

§ ΡΜΒ΄

Ἐπειδὴ καὶ ἡ ψυχὴ πρῶτον ἰδέας, ἢ ἐννοίας λαμβάνει, δεύτερον συνάπτουσα ταύτας κρίνει, εἶτα διὰ τῶν κρίσεων διανοεῖται, ἔπειτα τὰ διανοηθέντα καλῶς διατίθησιν, ἀνάγκη ἐστὶν ἵνα εἰς τὴν παροῦσαν περὶ λογικῆς πραγματείαν, πρῶτον περὶ ἐννοιῶν καὶ τῶν σημείων, ἢ ὅρων αὐτῶν διαλάβωμεν. Δεύτερον περὶ κρίσεων καὶ τῶν εἰς αὐτὰς ἐκτεθεισῶν προτάσεων. Τρίτον περὶ διανοίας καὶ τῶν διαφόρων εἰδῶν τοῦ συλλογισμοῦ. Καὶ τέταρτον περὶ Μεθόδου.

## Περὶ ἐννοιῶν.

§ ΡΜΓ΄.

Ἔννοια ἐστὶν ἡ ἀντικειμένου τινὸς εἰς τὴν ἐννοοῦσαν ψυχὴν παράστασις· καὶ εἰκονικὴ μὲν ἢ παραστατικὴ ἡ ἰδέα λέγεται, ἡ τὴν ἰδέαν τῆς ἐκτάσεως τῶν σχημάτων, τῶν χρωμάτων παριστᾶσα· ἔννοια δὲ ἁπλῶς καλεῖται, ἡ ἄλλως πως τὴν ψυχὴν διατιθεῖσα.

§ ΡΜΔ΄.

Ἔννοια πρώτη ὀνομάζεται ἡ πρὸ πάσης ἄλλης ἐνεργείας τῆς ψυχῆς τοῦ νοητοῦ ἀντίληψις· ἔστι δὲ ψιλή τις τοῦ παρισταμένου θεώρησις· καὶ λέγεται οὐ μόνον ἀντίληψις, ἀλλὰ καὶ πρώτη τοῦ νοὸς



ἐπιβολή, καὶ προσοχή, καὶ ἀνάληψις, καὶ πρόσληψις, καὶ πρόληψις· καὶ παρά τινων μὲν ἀδιαφόρως, παρ' ἄλλοις δὲ μετά τινος διαφορᾶς.

§ ΡΜΕ΄.

Καὶ ἐπιβολὴ μὲν καλεῖται, ὅτε μὴ ἐπὶ πολὺ ἡ ψυχὴ τῷ νοητῷ διατρίβῃ. Προσοχὴ δὲ ἐπιμονή τις ἐστὶ τῆς ἐπιβολῆς.

§ ΡΜϚ΄.

Εἰ δὲ τῶν νοητῶν οὕτως ἐπέρχεται τῇ ψυχῇ, ὡς μηδέποτε ἄλλοτε ἐπελθόν, τότε ἀντίληψις, καὶ πρόσληψις, καὶ ἀνάληψις ὀνομάζεται· ὅτε δὲ οὕτως ὑπὸ τῆς ψυχῆς ἀντιλαμβάνεται, ὡς καὶ ἄλλοτε ἐπελθόν, τότε πρόληψις καλεῖται.

§ ΡΜΖ΄.

Ἐπειδὴ δὲ καὶ ἐννοίας τινος τῇ ψυχῇ ἐπελθούσης, διάφορος αὐτῇ τρόπος τοῦ εἶναι προσγίνεται, καὶ τἀνάπαλιν, δῆλον, ὅτι πᾶν τὸ τὴν κατάστασιν αὐτῆς μεταβάλλειν δυνάμενον καὶ πρὸ ἐννοίας τινὸς αὐτῇ γίνεται.

§ ΡΜΗ΄.

Ὅθεν καὶ τρεῖς ἔσονται αἱ τῶν ἐννοιῶν τῆς ψυχῆς πηγαί· πρῶτον ὁ τῆς φύσεως Δημιουργός, δεύτερον αὐτὴ ἡ ψυχή, καὶ τρίτον τὸ περὶ αὐτὴν σῶμα, ὃ συμπάσχειν πολλάκις πέφυκε, καὶ δι' οὗ ἐνεργεῖ.

§ ΡΜΘ΄.

Καὶ τῷ μὲν Δημιουργῷ τὰς τοῖς εἰς αὐτὸν ὡς δέον ἀποτεινομένοις ἐνεγειρομένας ἐννοίας ἀποδοῦναι οὐκ ἄτοπον· τῇ δὲ ψυχῇ τὰς διὰ τῆς ἐπιστρεπτικῆς αὐτῇ δυνάμεως ἐγγιγνομένας, ὧν τὰ κτήνη καὶ τὰ βρέφη στερεῖσθαι πιθανόν, τῷ δὲ σώματι πάσας τὰς διὰ τῶν αἰσθήσεων ἀρχὴν λαμβανούσας.

§ ΡΝ΄.

Αἱ ἔννοιαι εἰσὶν ἁπλαῖ, ἢ μὴ ἁπλαῖ· καὶ τῶν μὴ ἁπλῶν αἱ μὲν σύνθετοι, αἱ δὲ συμπεπλεγμέναι· καὶ ἁπλαῖ μὲν λέγονται αἱ πρώτισται καὶ στοιχειώδεις, ὡς αἱ τῆς νοήσεως, τῆς λευκότητος κτλ. σύνθετοι δέ, εἰς ἃς ἐξ αὐτῆς τῆς φύσεως ἢ τῶν ἁπλουστέρων ὑπάρχει συνέλευσις· καὶ συμπεπλεγμέναι, εἰς ἃς ὑπὸ τῆς φαντασίας ἢ τέχνης ἡ τῶν ἁπλουστέρων συμβαίνει συμπλοκή.

§ ΡΝΑ'.

Αἱ ἔννοιαι καὶ εἰς συγκεκριμένας καὶ ἀφῃρημένας διαιροῦνται· καὶ συγκεκριμέναι μὲν καλοῦνται, αἱ μετὰ ἀντικειμένου τινὸς ἐννοούμεναι· οἷον ἡ τοῦ ἀνθρώπου κτλ. ἀφῃρημέναι δὲ αἱ ἄνευ ἀντικειμένου τινὸς ἀντιλαμβανόμεναι· οἷον ἡ τῆς λευκότητος κτλ.

§ ΡΝΒ'.

Βάθος πάσης συνθέτου καὶ συγκεκριμένης ἐννοίας ὀνομάζεται τὸ ἄθροισμα τῶν ἁπλουστέρων ἐννοιῶν, ἐξ ὧν συντίθεται· ὅτε δὲ ἡ αὐτὴ ἔννοια ἐπὶ πολλῶν λέγεται ἀντικειμένων, τότε τὸ τοιοῦτον αὐτῆς ἰδίωμα πλάτος καλεῖται.

§ ΡΝΓ'.

Αἱ ἔννοιαι ὡς πλατεῖαι μὲν θεωρούμεναι, ἔχουσιν ὑφ' αὐτῆς πολλὰς ἄλλας ἐννοίας, ἐφ' ὧν ἐπεκτείνονται· ὡς βαθεῖαι μὲν περιέχουσιν ἐν ἑαυταῖς πολλὰς ἄλλας δι' ὧν χαρακτηρίζονται.

§ ΡΝΔ'.

Ἡ διόλου ἀπλατὴς ἔννοια ὀνομάζεται μερική· τὸ δὲ αὐτῆς ἀντικείμενον, ἄτομον μὲν ἐπὶ τῶν λοιπῶν, πρόσωπον δὲ ἐπὶ τοῦ ἀνθρώπου.

§ ΡΝΕ'.

Ἡ πλατυτάτη ἔννοια καὶ καθολικωτάτη ὀνομάζεσθαι δύναται· αἱ δὲ κατὰ τὸ μᾶλλον καὶ ἧττον πλατεῖαι, κατὰ τὸ μᾶλλον καὶ ἧττον καθόλου λέγεσθαι ἔχουσιν.

§ ΡΝϚ'.

Καὶ τοιαῦται μὲν εἰσὶν αἱ ἔννοιαι, ὡς ἐκ τῆς φύσεως αὐτῶν θεωρούμεναι· ὡς ἐκ τοῦ τρόπου δέ, καθ' ὃν ἡ ψυχὴ αὐτῶν ἀντιλαμβάνεται, παρατηρούμεναι, εἰσὶν ἐναργεῖς, ἢ ἀμυδραί· καὶ ἐναργεῖς μὲν εἰσί, καθ' ἃς ἡ ψυχὴ καθαρῶς ἐννοεῖ τὸ νοητόν, παντὸς ἄλλου αὐτὸ διαστέλλουσα, ὡς ἡ τοῦ φωτός, ἡ τοῦ ἀνθρώπου κτλ. ἀμυδραὶ δέ, ἢ ἀσαφεῖς, καθ' ἃς ἡ ψυχὴ ἐστὶν ἀμφιβάλλουσα, ὡς ὅταν πόρρωθεν ὁρῶν τις ἀμφιβάλλει, ὁποῖον ἐστὶ τὸ ὁρώμενον.

§ ΡΝΖ'.

Αἱ ἐναργεῖς ἔννοιαι, καὶ αἱ εὐκρινεῖς, καὶ διακεκριμέναι λέγεσθαι δύνανται, ὡς τὰ ἀντικείμενα παντὸς ἄλλου διαστέλλουσαι καὶ



διακρίνουσαι· αἱ δὲ ἀμυδραὶ καὶ συγκεχυμέναι, ὡσαύτως λέγεσθαι ἔχουσιν, ὡς τὰ νοούμενα ἀλλήλοις συγχέουσαι.

§ ΡΝΗ'.

Ὡς πρὸς τὰ ἀντικείμενα δέ, εἰς ἃ αἱ ἔννοιαι ἀναφέρονται θεωρούμεναι, εἰσὶ πλήρεις, ἢ ἐλλειπεῖς· καὶ πλήρεις μὲν εἰσὶν αἱ ἐκ πάντων τῶν γνωρισμάτων τοῦ ἀντικειμένου συγκροτούμεναι, οἷον ἡ τοῦ τετραγώνου πάντων τῶν χαρακτηριστικῶν αὐτοῦ ἐννοουμένων· ἐλλειπεῖς δέ, ἐν αἷς τινὰ τῶν γνωρισμάτων παραλείπονται· οἷον ἡ τοῦ αὐτοῦ τετραγώνου, ὡς τετραπλεύρου μόνου θεωρουμένου, τοῦ ὀρθοῦ τῶν γωνιῶν παραλειπομένου.

§ ΡΝΘ'.

Αἱ ἔννοιαι καὶ ἄλλως πως ὑπό τινων θεωρούμεναι εἰσί, κατὰ ποσότητα δηλαδή, κατὰ ποιότητα, κατὰ σχέσιν καὶ κατὰ τρόπον.

§ ΡΞ'.

Καὶ κατὰ ποσότητα μέν, ἢ κατ' ἐπίτασιν, ὡς πρὸς τὸ βάθος αὐτῶν, ἢ κατ' ἔκτασιν ὡς πρὸς τὸ πλάτος· κατὰ ποιότητα δέ, ὡς πρὸς τὸ ἐναργὲς αὐτῶν, ἢ ἀμαυρόν.

§ ΡΞΑ'.

Κατὰ σχέσιν πάλιν, ὡς πρὸς ἀλλήλας ἀναφερόμεναι, ὡς πρὸς τὸ ταὐτόν, ἢ ἕτερον κτλ. καὶ κατὰ τρόπον τέλος, ὡς πρὸς τὸ ἀληθές, ἢ ψευδὲς αὐτῶν, δυνατόν, ἢ ἀδύνατον κτλ.

§ ΡΞΒ'.

Αἱ ἔννοιαι καλοῦνται προσέτι γένη, εἴδη, διαφοραί, ἴδια καὶ συμβεβηκότα· καὶ γένος μὲν ἐστὶ καθόλου ἔννοια, ἡ πολλὰς ἄλλας καθόλου καὶ αὐτὰς διαφερούσας τῇ φύσει, ὑφ' ἑαυτὴν ἔχουσα· οἷον ζῴου κτλ.

§ ΡΞΓ'.

Εἶδος δὲ ἡ τὰ οὐσιώδη γνωρίσματα πολλῶν ἀτόμων περιέχουσα· οἷον ἄνθρωπος κτλ.

§ ΡΞΔ'.

Διαφορὰ ἡ διαστέλλουσα καὶ ἄτομα, καὶ εἴδη, καὶ γένη· οἷον ἐπὶ τοῦ Πλάτωνος, τὰ ἀτομικὰ αὐτοῦ γνωρίσματα· ἐπὶ ἀνθρώπου, τὸ λογικόν· ἐπὶ ζῴου, τὸ αἰσθητικόν.

## § ΡΞΕ'.

Ἴδιον δὲ τὸ γνώρισμα, τὸ οὐσιῶδες μὲν ὑπάρχον εἰς εἶδός τι, ὡς ἐκ τῆς διαφορᾶς δὲ ἐξαρτώμενον· οἷον τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἐπὶ τοῦ ἀνθρώπου, ὡς ἐκ τοῦ λογικοῦ.

## § ΡΞϚ'.

Συμβεβηκὸς τελευταῖον λέγεται, γνώρισμα ἐπουσιῶδες, οὗτινος ἀπόντος, ἢ μή, οὐδεμία εἰς τὴν φύσιν τοῦ ἔχοντος αὐτὸ συμβαίνει μεταβολή, ὡς τὸ μέλαν, τὸ λευκὸν κτλ.

## § ΡΞΖ'.

Τὸ δὲ γένος μόνον ὑπάρχον, οὐχὶ δὲ καὶ εἶδος, γένος γενικώτατον ὀνομάζεται· ὡσαύτως δὲ καὶ εἶδος εἰδικώτατον λέγεται, τὸ εἶδος μόνον, οὐχὶ δὲ καὶ γένος ὄν, τὰ δὲ μεταξὺ καὶ γένη καὶ εἴδη, ὑπάλληλα προσαγορεύονται· καὶ εἴδη μὲν ὡς πρὸς τἀνωτέρω, γένη δὲ ὡς πρὸς τὰ κατωτέρω· οἷον τὸ οὐσία ἐστὶ γένος γενικώτατον, τὸ ἄνθρωπος εἶδος εἰδικώτατον, Σωκράτης, Πλάτων καὶ τὰ λοιπὰ ἄτομον ἢ πρόσωπον, τὸ δὲ σῶμα, ζῶον, γένος καὶ εἶδος ὑπάλληλα.

## § ΡΞΗ'.

Καὶ αὗται μὲν εἰσὶν αἱ πέντε τοῦ Πορφυρίου λεγόμεναι φωναί· αἱ δὲ κατ' Ἀριστοτέλην δέκα κατηγορίαι, τόποι τινές εἰσιν, εἰς οὓς ἅπασαι αἱ ἔννοιαι κατ' αὐτὸν ἀνάγεσθαι ἔχουσι· καθότι τὸ νοούμενον, ἢ καθ' ἑαυτὸ ὑφεστὼς ἐστι, καὶ τότε οὐσία λέγεται, ἢ ἐπὶ οὐσίας τινὸς ὑπάρχον, καὶ συμβεβηκὸς ὀνομάζεται· ἐννοεῖται δὲ ὑπάρχον αὐτῇ, ἢ ὡς μέτρον τοῦ μεγέθους, καὶ ποσόν, ἢ ποσότης καλεῖται, ἢ καθ' ὃ πρὸς ἕτερον ἀναφέρεται καὶ σχέσις, ἢ καθ' ὃ τὸν ὑπ' αὐτῆς κατεχόμενον ἀφορᾷ τόπον· καὶ ποῦ, ἢ τὸν ἐνῷ ὑπάρχει χρόνον· καὶ ποτὲ ἢ καθ' ὃ ἐνεργοῦσά ἐστι· καὶ ποιεῖν, ἢ καθ' ὃ πάσχουσα· καὶ πάσχειν, ἢ καθ' ὃ θέσιν τινὰ τῶν ἰδίων ἔχει μερῶν· καὶ κεῖσθαι, ἢ καθ' ὃ ἄλλην περίκειται οὐσίαν, καὶ ἔχειν προσαγορεύεται.

### Περὶ ὁρισμοῦ.

## § ΡΞΘ'.

Ὁρισμὸς ἐστιν ἔκθεσις τῶν κυριωτέρων ἐννοίας τινὸς γνωρισμάτων, δι' ἧς χαρακτηρίζεσθαι, ἢ ἀπ' ἄλλων ἐννοιῶν διακρίνεσθαι πέφυκεν, ἢ ἀνάλυσις ἐννοίας εἰς τὰς ἐξ ὧν σύγκειται ἁπλουστέρας, δι' ἧς ὁρίζεται, ἢ ἀπ' ἄλλων ἐννοιῶν διαστέλλεται.



## § ΡΟ'.

Ἔστι δὲ ὁ ὁρισμὸς ὀνοματώδης, ἢ πραγματικός· καὶ οὗτος πάλιν γεννητικός, ἢ χαρακτηριστικός· καὶ ὁ μὲν ὀνοματώδης τὴν τοῦ ὀνόματος δύναμιν ἑρμηνεύει· οἷον ψυχὴν ἀποκαλῶ τὴν ἐν ἀνθρώπῳ αὐτοκίνητον οὐσίαν· τὴν δυνάμεις γνωστικάς, προαιρετικάς, καὶ ἐνεργητικὰς ἔχουσαν. Ὁ δὲ πραγματικὸς τὴν φύσιν τοῦ πράγματος ἐκτίθησιν· οἷον· ἄνθρωπος ἐστὶ ζῶον Θεοσεβές· λέγεται δὲ ὀνοματώδης ὁρισμὸς καὶ ὁ ἐτυμολογικός· οἷον αἱ Μοῦσαι· ὁμοῦ οὖσαι εἰσί.

## § ΡΟΑ'.

Γεννητικὸς ὁρισμὸς ὀνομάζεται ὁ τὸν τρόπον, καθ' ὃν γίνεταί τι ἐκτιθέμενος· οἷον κύλινδρος ἐστὶ σχῆμα διὰ τῆς περὶ μίαν τῶν πλευρῶν ὀρθογωνίου περιστροφῆς γινόμενον.

## § ΡΟΒ'.

Ὁ χαρακτηριστικὸς πάλιν ὁρισμὸς εἰς οὐσιώδη καὶ ἐπουσιώδη διαιρεῖται· καὶ οὐσιώδης μὲν ἐστιν, ὅστις καὶ λογικὸς ὀνομάζεται, ὁ ἐπὶ γένους καὶ διαφορᾶς ἀποπληρούμενος· οἷον ἄνθρωπός ἐστι ζῶον λογικόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἐπουσιώδης δὲ ἐκ συμβεβηκότων· οἷον τράπεζά ἐστιν ἡ ἐκ ξύλου ἢ ἐξ ἄλλης ὕλης κατεσκευασμένη, καὶ διὰ ὑποστηριγμάτων, ποδῶν λεγομένων, ὑποστηριζομένη, ἐφ' ἧς διάφορα ἐπιτίθενται πράγματα· οἱ τοιοῦτοι δὲ ὁρισμοὶ καὶ ὑπογραφικοὶ ἢ περιγραφικοὶ ὀνομάζονται, ὡς εἰς τὰς διαφόρους τῶν πραγμάτων ὑπογραφὰς ἢ περιγραφὰς χρήσιμοι ὄντες.

## § ΡΟΓ'.

Ὅταν μέρος ὁρισμοῦ δι' ἄλλου ὁρισθῇ ὁρισμοῦ, τότε ὁ ὁρισμὸς οὗτος ὑφορισμὸς καλεῖσθαι δύναται· οἷον ἐὰν ὁρίσωμεν τὸ μὲν παραλληλόγραμον, σχῆμα τετράπλευρον εὐθύγραμμον παραλλήλους ἔχον τὰς ἀπέναντι πλευράς, λαβόντες δὲ μέρος αὐτοῦ, τὸ παραλλήλους ἔχον πλευράς, ὑφορίσωμεν αὐτὰς εὐθείας ἐξ ἴσου ἀπ' ἀλλήλων ἀπεχούσας, ὁ δεύτερος οὗτος ὁρισμὸς ὑφορισμὸς ὡς πρὸς τὸν πρῶτον ἀναφερόμενος ὀνομάζεται.

## § ΡΟΔ'.

Ἀρεταὶ δ' ὁρισμοῦ εἰσι, τὸ σαφῆ εἶναι·τὸ μὴ πλεονάζειν, καὶ τὸ μὴ ἐλλειπῆ εἶναι· ἵνα δὲ ὁ ὁρισμὸς μηδὲ πλεονάζων ὑπάρχῃ, μηδὲ ἐλλείπων, ἀνάγκη ἐστὶν, ὅπως αὐτὸς μὲν εἰς τὸ ὁριστὸν ἀντιστρέφῃ. τὸ δὲ ὁριστὸν εἰς αὐτόν· οἷον εἴ τι ζῶον λογικὸν καὶ ἐπιστήμης δεκτικὸν καὶ ἄνθρωπος, καὶ εἴ τι ἄνθρωπός ἐστι καὶ ζῶον λογικόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν.

### Περὶ διαιρέσεως.

## § ΡΟΕ'.

Ὅτε καθόλου ἔννοια εἰς τὰς ὑφ ἑαυτὴν διαμεριζομένη ἐφαρμόζεται, ἢ αὐταῖς συντίθεται, τότε εἰς τὰς ὑφ' ἑαυτὴν διαιρεῖσθαι λέγεται· ὥστε διαίρεσίς ἐστιν, ἡ καθολικωτέρας ἐννοίας εἰς τὰς ὑπ' αὐτὴν ἐφαρμογή, ἢ διανομή· καὶ τὸ μὲν καθόλου διαιρετικὸν ὀνομάζεται· τὰ δὲ ἐφ' ἃ ἐφαρμόζεται, ἢ διανέμεται, μέρη διαιρέσεως καλοῦνται· ἡ τοιαύτη δὲ διαίρεσις λογικὴ προσαγορεύεται, πρὸς διαφορὰν τῆς μεγέθους τινὸς κατατομῆς, ἢ τῆς ποσοῦ τινος διαιρέσεως, ἢ μερισμοῦ.

## § ΡΟϚ'.

Διαιρεῖται δὲ τὸ καθόλου, ἢ ὡς γένος εἰς εἴδη· οἷον τὸ ζῶον εἰς ἵππον, βοῦν κτλ. ἢ ὡς εἶδος εἰς ἄτομα· οἷον ὁ ἄνθρωπος εἰς Σωκράτην, Πλάτωνα κτλ.

## § ΡΟΖ'.

Ἡ μετὰ τὴν πρώτην διαίρεσιν τοῦ αὐτοῦ ὅλου διαφόρως θεωρουμένου, δευτέρα διανομή, ἐπιδιαίρεσις λέγεται· ἡ δὲ θατέρα τῶν ἀντιδιαιρουμένων μερῶν, ὡς ὅρου λαμβανομένου, εἰς ἔτι μερικώτερα, ὑποδιανομὴ ἢ ὑποδιαίρεσις καλεῖται· οὕτος ὁ ἄνθρωπος,διαιρεῖται μὲν εἰς ἄρρεν καὶ θῆλυ· ἐπιδιαιρεῖται δὲ εἰς πεπαιδευμένον καὶ ἀπαίδευτον, καὶ ὑποδιαιρεῖται ὁ ἀνὴρ εἰς πολεμικὸν καὶ ἀπόλεμον.

## §. ΡΟΗ.'

Ἡ διαίρεσις ὡς ἐκ τῶν μερῶν θεωρουμένη εἰς ἃ γίνεται, τῶν μὲν ἀντιδιαιρουμένων γενῶν, γενικὴ ὀνομάζεται ἑτερότης, τῶν δὲ εἰδικωτάτων εἰδῶν, εἰδική· καὶ τῶν ἀτόμων ἀτομική, ἢ ἀριθμητική.



ὅθεν καὶ τὸ σῶμα, καὶ τὸ πνεῦμα οὕτω τῷ γένει διαφέροντα λέγονται. Βοῦς δὲ καὶ ἵππος τῷ εἴδει ἕτερα· Σωκράτης δὲ καὶ Πλάτων τῷ ἀριθμῷ, καὶ τὰ μὲν τῷ γένει διάφορα, καὶ τῷ εἴδει διάφορα ἔσονται· τὰ δὲ τῷ εἴδει καὶ τῷ ἀριθμῷ, οὐχὶ δὲ καὶ τ' ἀνάπαλιν.

## § ΡΟΘ.'

Ἡ διαίρεσις διμερὴς λέγεται, ὅτε εἰς δύο τὸ διαιρετὸν διαιρεῖται· πολυμερὴς δὲ ὅτε εἰς πολλά.

## § ΡΠ'.

Γνωρίσματα δὲ ὀρθῆς καὶ ἀπταίστου διαιρέσεώς εἰσι· πρῶτον τὸ εἶναι τελείαν, εἴτε πάντα ἐκτιθέναι τὰ μέρη τὰ ἐν τῷ διαιρετῷ περιεχόμενα· οὕτως ἀτελὴς καὶ ἐπεσφαλμένη ἐστὶν ἡ διαίρεσις ἡ τὸ τρίγωνον εἰς ἰσόπλευρον καὶ σκαληνὸν διαιροῦσα, διότι παρελείφθη τὸ ἰσοσκελές. Δεύτερον· τὰ μέρη τῆς διαιρέσεως διακεκριμμένα εἶνα καὶ μὴ ταυτίζεσθαι· οὕτως κακῶς διαιροῦνται οἱ ἀστέρες εἰς ἀπλανεῖς, καὶ πλανῆτας καὶ ζώδια· διότι τὰ ζώδια εἰς τοὺς ἀπλανεῖς ἐμπεριέχονται. Τρίτον· τὰ μέρη τῆς διαιρέσεως ἀνάλογα εἶναι καὶ μὴ θάτερον τούτων, ὡς μηδὲν πρὸς τὸ ἕτερον ὑπάρχει· οὕτω κακῶς διαιρέσει τις τοὺς Σκύθας εἰς σοφοὺς καὶ ἀσόφους διὰ τὸν ἕνα σοφὸν τὸν Ἀνάχαρσιν.Τέταρτον· τὴν διαίρεσιν εἰς τὰ ἄμεσα μέρη γίγνεσθαι· οὕτω κακῶς διαιρεθήσεται ἡ οὐσία εἰς ἄνθρωπον, βοῦν κτλ. δέον αὐτὴν πρῶτον κτλ. εἰς σωματικὴν καὶ ἀσώματον διελεῖν. Πέμπτον· τὴν διαίρεσιν μὴ οὕτω πολυμερῆ γίγνεσθαι, ὥστε ἀρίθμησιν μᾶλλον ἢ διαίρεσιν εἶναι· οὕτως κακῶς διαιρεθήσονται αἱ κύνες εἰς Λακαίνας Ἀρκάδας, Κελτικάς, Ἰβηρικὰς κτ.λ.

### Περὶ σημείων ἐννοιῶν ἢ περὶ ὅρων.

## § ΡΠΑ'.

Ὅσα ὁ ἄνθρωπος μεταχειρίζεται μέσα πρὸς παράστασιν ἐννοίας τινὸς σημεῖα αὐτῆς ὀνομάζονται· τοιαῦτα δὲ εἰσὶ διάφορα· φωναί, κινήματα, νεύματα, εἰκονισμοὶ καὶ αὐτὴ ἡ σιγὴ πολλάκις· ἀλλὰ τούτων ἁπάντων προτιμῶνται αἱ ἔναρθροι φωναί, ἢ λέξεις ὡς καταλληλότεραι τῶν λοιπῶν εἰς ἔκθεσιν ἐννοιῶν ὑπάρχουσαι· αὗται δὲ καὶ ὅροι ἐννοιῶν καλοῦνται, ὡς δι' αὐτῶν πάσης ἐννοίας καὶ διοριζομένης καὶ ἀποπερατουμένης.

## § ΡΠΒ'.

Ῥῆμα δὲ ἐστὶν τὸ προσημαῖνον χρόνον οὗ μέρος οὐδὲν σημαί-

νει κεχωρισμένον σημαντικὸν δὲ ἐστὶν ἐνεργείας, ἢ πάθους, ἢ ἄλλης τινὸς διαθέσεως καὶ διακριτικὸν προσώπου, καθ' ὃ κατηγορεῖ τὸ ὑπ' αὐτοῦ σημαινόμενον· ὅθεν καὶ κατηγορούμενον, ὑπὸ τῶν διαλεκτικῶν ὀνομάζεται· τὸ δὲ ὄνομα ὑποκείμενον λέγεται, ἐφ' οὗ δηλ. ὑποκειμένου ἐπιτίθεται, ἢ κατηγορεῖται τὸ ὑπὸ τοῦ ῥήματος σημαινόμενον· ἀμφότερα δέ τό τε ὄνομα καὶ τὸ ῥῆμα ὅροι κυρίως καὶ πέρατα καὶ ἄκρα τῆς ὑπ' αὐτῶν δηλουμένης ἐννοίας προσαγορεύονται ὡς αὐτὴν περιορίζοντα καὶ ἀποπερατοῦντα.

§ ΡΠΓ'.

Τῶν ὅρων οἱ μὲν εἰσὶν ἁπλοῖ· οἷον· **Θεός, ψυχή,** οἱ δὲ σύνθετοι ἢ συμπεπλεγμένοι· οἷον τὸ λογικὸν ζῶον, τὸ τριχῇ διαστατόν· καὶ ἄλλοι μὲν θετικοί· οἷον ἄνθρωπος· ἄλλοι δὲ στερητικοί· οἷον ἀθάνατος, χωλός· καὶ ἄλλοι ἀόριστοι· οἷον οὐκ ἄνθρωπος, τὸ μὴ ξύλον· καὶ οὐσιαστικοὶ ἄλλοι· οἷον ὕδωρ· καὶ ἐπίθετοι· μέγας, μικρός· καὶ ἀφῃρημένοι· οἷον λευκότης· καὶ συγκεκριμένοι λευκός· καὶ μερικοὶ ἀορίστως· ἄνθρωπός τις· καὶ μερικοὶ ὡρισμένως· οὗτος ὁ ἄνθρωπος· καὶ περιληπτικοί, πόλις, στρατός, καὶ συνώνυμοι ἄνθρωπος· καὶ ὁμώνυμοι· κύων· ἐγώ, σύ, καὶ στερεοὶ ἢ μονόσημοι, πολύσημοι, κόσμος, λόγος κτλ.

§ ΡΠΔ'.

Λέγονται ὡσαύτως ὅροι προσκατηγορηματικοί, οἱ ἀφ' ἑαυτῶν δηλοῦντες τι· συγκατηγορηματικοὶ δὲ οἱ σὺν ἄλλοις σημαίνοντες· οἷον πᾶς, οὐδείς, τίς, οὐ πᾶς, οἵτινες καὶ προσδιορισμοὶ ὀνομάζονται· ὡς τοὺς συμπαραλαμβανομένους (αὐτοῖς ὅρους) ὁποῖοι εἰσὶ προσδιορίζοντες· συγκατηγορηματικοὶ δὲ ὅροι καὶ πλάγιοι τῶν πτώσεων κληθῆναι δύνανται.

§ ΡΠΕ'.

Κατηγορικὸς δὲ ὅρος καλεῖται, ὁ εἰς μίαν τινὰ κατηγορίαν ἀναφέρων τὸ δηλούμενον· οἷον ἄνθρωπος μὲν ἐπὶ τὴν οὐσίαν· ἱστάμενος δὲ ἐπὶ τὸ κεῖσθαι, καὶ οὕτως ἐφεξῆς· διαβατικὸς δὲ ὀνομάζεται ὁ διὰ πάντων τῶν γενῶν τοῦ ὄντος, ἢ τῶν πλειόνων διερχόμενος· οἷον τὸ ὄν, τὸ τί, τὸ ἀληθές, τὸ ἀγαθόν, τὸ ὑπάρχον, τὸ ἐνυπάρχον· καὶ ὅρος φυσικὸς προσέτι προσαγορεύεται ὁ πρᾶγμα τί δηλῶν· τεχνικὸς δὲ καλεῖται, ὁ κατὰ σημασίαν λογικῆς τινός, ἢ Γραμματικῆς Θεωρίας θεωρούμενος.



§ ΡΠϛ'.

Πᾶς ὅρος τριχῶς θεωρεῖσθαι δύναται, ὡς σημαίνων δηλαδὴ τὰ νοήματα, ἢ παθήματα τοῦ λέγοντος, ἢ γράφοντος· ὡς δηλῶν τὰ νοούμενα πράγματα, καὶ ὡς διὰ τῆς ἀκοῆς ἢ τῆς ὁράσεως διεγείρων ἄλλους πρὸς τῶν λεγομένων, ἢ γραφομένων τὴν κατανόησιν

§ ΡΠΖ'

Καὶ κατὰ μὲν τὸ πρῶτον παρατηρητέον, ὅτι ἐπὶ τῶν ἀδυνάτων οὐδὲν οἱ ὅροι σημαίνειν δύνανται· οἷον ἰσόπλευρον ὀρθογώνιον τρίγωνον· δεύτερον, ὅτι τῶν ἄνευ προσοχῆς λεγόντων ἢ γραφόντων, καὶ τῶν λέξεις ἀγνώστου αὐτοῖς διαλέκτου ἐπισωρευόντων, καὶ τῶν ἀπαιδεύτως ἀκυρολεκτούντων, οἱ ὅροι ἀηδεῖς εἰσὶ καὶ μάταιοι.

§ ΡΠΗ'.

Κατὰ δὲ τὸ δεύτερον, ὅτι ἐπὶ τῶν ἀνυπάρκτων, ὁ ὅρος ἀργός ἐστι καὶ ἀσήμαντος οἷον Τραγέλαφος, Ἱπποκένταυρος, ὅτι ἐπὶ τῶν ἀφῃρημένων ἡμιτελής πως ὁ ὅρος ἐστι, ἐπὶ τῶν οὐσιῶν ἀσαφὴς ὡς μὴ τὴν οὐσίαν τοῦ πράγματος σαφῶς σημαίνων δυνάμενος· ἐπὶ δὲ τῶν ἐπίτασιν, ἢ ὕφεσιν δεχομένων οἱ ὅροι ἀπροσδιόριστοι εἰσίν.

§ ΡΠΘ'.

Κατὰ δὲ τὸ τρίτον οἱ ὅροι οὐ τὸ αὐτὸ εἰς τοὺς ἀκούοντας, ἢ ὁρῶντας ἀποτελοῦσιν ἀποτέλεσμα, ἀλλὰ κατὰ τὴν παιδείαν, ἀγωγήν, κ. τ. λ. διάφορον.

§ ΡϞ'.

Ὅθεν μεγάλης προσοχῆς γίνεται χρεία εἰς τὴν ἔρευναν τῆς τῶν ὅρων δυνάμεως, καὶ χρῆσιν αὐτῶν· οὕτω φερ' εἰπεῖν· παρατηρητέον, εἰ ὅρος φυσικὸς ἐκλαμβάνεται, ἢ τεχνικός, ἢ μερικός ἐστιν ἢ καθόλου, ἢ τὸ διὰ τοῦ πῶς προσδιοριζόμενον, ἀληθῶς καθόλου ἐκλαμβάνεται, ἢ ἀντὶ τοῦ πολὺ λέγεται κτλ.

**Περὶ κρίσεων καὶ διαφόρων προτάσεων.**

§ ΡϞΑ'.

Κρίσις ἐστὶν ἐνέργεια ψυχῆς, δι' ἧς δύο τινὰς ἐννοίας παραβάλλουσα καὶ τὸ σύμφωνον, ἢ διάφωνον αὐτῶν μανθάνουσα κατανεύει ἢ ἀνανεύει ἢ καταφάσκει ἢ ἀποφάσκει περὶ αὐτῶν· οὕτω φερ' εἰπεῖν παραβάλλουσα τὰς ἐννοίας Σωκράτης καὶ σοφός, ἄνθρωπος καὶ λίθος, καὶ σκεψαμένη κρίνει, ὅτι ὁ Σωκράτης ἐστὶ σοφός, ὁ

ἄνθρωπος οὐκ ἔστι λίθος· ὅθεν κρίσις μὲν ἐστιν ἀνάνευσις ἢ κατάνευσις τῆς ψυχῆς· ὁ δὲ λόγος, δι' οὗ ἡ ψυχὴ τὴν ἑαυτῆς ἑρμηνεύει κρίσιν ἢ ἀποφαίνεται, ἑρμηνεία ἢ ἀπόφανσις ἐν γένει ὀνομάζεται· μερικώτερον δὲ πρότασις μὲν καλεῖται, θεωροῦσά τι, ἢ προβάλλουσα· ἔνστασις δὲ ἡ ἀπάντησις ἀντιφερομένη, κείμενον ἢ ἡγούμενον, ὡς ἀρχὴ συμπεράσματος τιθεμένη κτλ.

## § ΡϞΒ΄.

Μέρη πάσης ἀποφάνσεως τὸ ὄνομα καὶ τὸ ῥῆμα εἰσίν, ἅτινα καὶ ὅροι καὶ πέρατα, καὶ ἄκρα αὐτῆς ὀνομάζονται· καὶ τὸ μὲν ὄνομα ὑποκείμενον αὐτῆς λέγεται· τὸ δὲ ῥῆμα κατηγορούμενον προσαγορεύεται.

## § ΡϞΓ΄.

Διαιρεῖται πᾶσα ἀπόφανσις ὑπὸ τῶν διαλεκτικῶν εἰς ἀπόφανσιν ἐξ ἑνὸς κειμένου οἷον μανθάνω, λέγεις κτλ. ὅθεν τὸ ῥῆμα μόνον τίθεται ὑπονοουμένης τῆς ὀνομαστικῆς τοῦ πτωτικοῦ, εἰς ἀπόφανσιν ἐκ δευτέρου προκειμένου, οἷον Πλάτων λέγει, ὅτε καὶ ἡ εὐθεῖα λέγεται· καὶ εἰς ἀπόφανσιν ἐκ τρίτου προκατηγορουμένου, ὁ Σωκράτης ἐστὶ σοφός, ὅτε καὶ τὸ ὑποκείμενον καὶ τὸ κατηγορούμενον ταυτίζονται, τότε αἱ ἀποφάνσεις ταυτολογοῦσαι λέγονται.

## § ΡϞΔ΄.

Αἱ ἀποφάνσεις κατὰ ποσότητα θεωρούμεναι εἰσὶν ἀτομικαί, καὶ καθολικαί· κατὰ ποιότητα δὲ καταφατικαί, ἀποφατικαί, ἢ ἐκ δύο ἀρνήσεων περιορισμέναι κατὰ σχέσιν κατηγορικαί, ὑποθετικαί, καὶ διαζευτικαὶ κατὰ τρόπον ἐνδεχόμεναι διαβεβαιωτικαὶ καὶ ἀναγκαῖαι.

## § ΡϞΕ΄.

Οἱ δὲ μαθηματικοί, ἄλλως πως τὰς ἰδίας ἀποφάνσεις προσαγορεύουσι, καὶ ἀρχὰς μὲν λέγουσι τὰς ἀναποδείκτους ἀποφάνσεις· τοιαῦται δὲ εἰσὶν οἱ ὅροι, τὰ ἀξιώματα, καὶ τὰ αἰτήματα· καὶ τούτων πάλιν θεωρήματα μὲν τὰς πρὸς θεωρίαν προσκειμένας· προβλήματα δὲ τὰς πρὸς λύσιν προβαλλομένας κτλ.

## § ΡϞϚ΄.

Αἱ προτάσεις εἰσὶν ἁπλαῖ, ἢ σύνθετοι· καὶ ἁπλαῖ μὲν λέγονται, ἢ καὶ πράγματι καὶ φωνῇ, ὅτε οἱ ὅροι μονολεκτικῶς ἐκτίθενται· οἷον ὁ Θεός ἐστιν ἀγαθός· ἡ ψυχὴ ἀθάνατος, ἢ πράγματι μόνον ὅτε οἱ ὅροι διὰ δύο ἢ πολλῶν ἐκφέρονται λέξεων· καὶ τούτων πάλιν, ἄλλαι μὲν μόνον τὸν ὑποκείμενον ὅρον, σύνθετον ἔχουσιν· οἷον τῶν ἀστέρων ἡ πληθὺς ἐστὶν ἀναρίθμητος· ἄλλαι δὲ μόνον τὸν κατηγορούμενον· οἷον ἄνθρωπος ἐστὶ ζῶον θεοσεβὲς καὶ κοινωνικόν· ἄλλαι δὲ μόνον τὸν σύνδεσμον· οἷον ὁ κύκλος ὁμολογουμένως ἐστὶ περιφερής· ἄλλαι καὶ τοὺς δύο ὅρους· οἷον ἡ τοῦ ἀνθρώπου ψυχὴ θανάτου κρείττων· ἄλλαι τὸν σύνδεσμον καὶ θάτερον τῶν ὅρων· οἷον τὸ πεντάπλευρον πάντως ἐστὶ καὶ πεντάγωνον· καὶ ἄλλαι τελευταῖον πάντα σύνθετα· οἷον ἡ τοῦ ἀνθρώπου ψυχή ἐστι πάντως καὶ ἀληθοῦς εὐδαιμονίας ἐπιδεκτική.



## § ΡϞΖ΄.

Σύνθετοι δὲ προτάσεις εἰσίν, ὧν δύο ἢ πολλαὶ αἱ κατηγορίαι ὑπάρχουσι· τούτων δὲ ἄλλαι μὲν μόνον τὸ σύνθετον τῆς κατηγρίας ἔχουσιν· οἷον Ἀριστοτέλης περιπατεῖ καὶ διδάσκει· ἄλλαι δὲ κεκρυμένον· οἷον οὐ πρὸς ἔπος ἀπεκρίνατο· διότι ἐννοεῖται ὅτι ἀπεκρίνατο μὲν ἀλλ'ὅμως οὐ πρὸς ἔπος.

## § ΡϞΗ΄.

Καὶ τῶν μὲν τὸ σύνθετον τῆς κατηγορίας ἐχουσῶν, ἐστὶν ἡ ἀναπτυσσομένη, ἧς τὸν ὑποκείμενον ὅρον ἄλλη πρότασις ἐμβεβλημένη ἀναπτύσσει· οἷον κεῖται Σαρπηδών, Λυκίων, Ἀγός· ἢ τὸν κατηγορούμενον· οἷον Ἕκτωρ δ' ἡγεῖτο Βροτολοιγῷ ἶσος Ἀρεϊ.

## § ΡϞΘ΄

Ἡ διοριζομένη, ἧς θάτερον τὸν ὅρον ἄλλη πρότασις ἐμπίπτουσα διαστέλλει· οἷον κεῖται ἀνήρ, ὃς πρῶτος εἰσήλατο τὸ τεῖχος Ἀχιλλεύς.

## § Σ΄.

Ἡ ὑποθετική, ἡ δύο προτάσεις διὰ τῶν μορίων εἰ, ἐὰν συνάπτουσα· οἷον εἰ ἔστι δίκη ἀπεκδέχεταί τις ἡμῶν ἐξέτασιν τῶν βεβαιωμένων· ταύτης δὲ τὸ μὲν ὑποτιθέμενον ἡγούμενον λέγεται· ἑπόμενον δὲ τὸ ἐπαγόμενον· ἡ δὲ μεταξὺ τούτων σχέσις συνέπειακαὶ ἀκολουθία, τὸ δὲ ὅλον συνημμένον καλεῖται.

## § ΣΑ΄.

Ἡ αἰτιολογική, ἡ καὶ ἑτέραν συνεπαγομένην πρότασιν αὐτῇ αἰτιολογοῦσα· οἷον τὸ τοῦ Στίλπωνος· οὐδὲν ἀπώλεσα, πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν.

### § ΣΒ΄.

Ἡ ἀναφορική· οἷον ὅσον εὔφραινες ᾄδων, τοσοῦτον ἔχαιρες ἐλπίζων.

### § ΣΓ΄.

Ἡ ἐναντιωματική· οἷον τὸ τοῦ Ἐβίνου· κἤν μὲ φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω.

### § ΣΔ΄.

Ἡ συμπλεκτική· οἷον τ' ἀργύριον ἐστὶ σῶμα καὶ ψυχὴ βροτοῖσι.

### § ΣΕ΄.

Ἡ διαζευκτική· οἷον δεῖ κτᾶσθαι νοῦν, ἢ βρόχον.

### § ΣϚ΄.

Ἐπὶ τῶν προτάσεων τούτων τὸ σύνθετον ἐστὶ καταφανές, καὶ τὸ ἐλλειπὲς ἀνέλεγκτον· ἐὰν αἱ μὲν ἀναπτυσσόμεναι, μὴ κατὰ τὸ δέον ἀναπτύσσονται· αἱ δὲ διοριζόμεναι μὴ ἀκριβῶς διορίζονται· καὶ οὕτως ἐφεξῆς· ἀλλ' εἰσὶ καὶ ἄλλαι σύνθετοι προτάσεις, ὧν τὸ σύνθετον διὰ τὸ ἀσαφὲς καὶ συνεπτυγμένον ἐκ συνθέσεως καὶ σαφηνείας ἔχει χρείας· τοιαῦται δὲ εἰσὶν αἱ ἑξῆς :

### § ΣΖ΄.

Ἡ ἀποκλειστική, ἡ ἕν τι μόνον κατηγοροῦσα κατὰ τοῦ ὑποκειμένου, ἢ ἕν τι μόνον ὑποτάσσουσα τῷ κατηγορουμένῳ, τὰ δὲ ἄλλα πάντα ἀποκλείουσα· οἷον τὰ χρήματα εἰσὶ μόνα ὀργανικὰ ἀγαθά, καὶ ἡ σοφία μόνη ἐστὶ τῶν κτημάτων ἀθάνατον· τὴν αὐτὴν ἔχουσι δύναμιν, καὶ ὅσαι ἀποφάνσεις διὰ τοῦ πρῶτος ἔσχατος ἐκτίθενται· ἢ διαφοράν, ἢ ὑπεροχὴν τὴν κατὰ πάντων δηλοῦσι.

### § ΣΗ΄.

Ἡ ἐξωτερική, ἡ ἐξαιροῦσά τι, ἤ τινα, ἀπὸ τοῦ ὑποκειμένου, ἢ ἀπὸ τοῦ κατηγορουμένου ἐνῷ τὰ λοιπὰ ὑπολείπονται· οἷον ἅπαντες πλὴν τῶν ὑπὸ τὸν Ἰσημερινὸν οἰκούντων τὸν ἕτερον τῶν πόλων ὑπὲρ τὸν ὁρίζοντα βλέπουσιν· εὐκόλως δὲ ἡ τοιαύτη πρότασις, εἰς τὴν ἀνωτέρω μεταβάλλεται· οἷον οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός· μόνος ὁ Θεός ἐστιν ἀγαθός.



### § ΣΘ΄.

Ἡ συγκριτική· πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα· τουτέστι καὶ ὁ χρυσὸς καὶ ὁ πλοῦτος καλά, ἀλλ' ἡ πατρὶς κρείσσων τούτων· δεῖ δὲ τὴν σύγκρισιν ἐπὶ τῶν τοῦ αὐτοῦ μετεχόντων θετικοῦ γίνεσθαι· διότι γελοῖον τὸν Νηρέα καλλίονα τοῦ Θερσίτου λέγειν.

### § ΣΙ΄

Ἡ ἀρκτική· ἡ δηλοῦσα τὸ ἤδη πρῶτον γίγνεσθαι ἀρχόμενον· οἷον ὁ Σείριος ἐπιτέλλει· διότι δηλοῦται δι' αὐτῆς καὶ τὸ νῦν, καὶ τὸ μὴ πρότερον· τοιοῦτον καὶ τὸ Χρυσίππου· οἴμοι κασσίγνητε, ὄμμα σὸν κράττεται· τουτέστι μέχρι τοῦδε ἡσύχως διαλέγου· ἤδη δὲ θορυβεῖσθαι εἴρξω.

### § ΣΙΑ΄.

Ἡ ληκτικὴ ἐναντία τῇ ἀνωτέρῳ· δηλοῖ δὲ τὸ τοῦ εἶναι παυόμενον, ἢ πρὸ ὀλίγου παυσάμενον· οἷον ὁ λύχνος σβέννυται.

### § ΣΙΒ΄.

Ταύταις δὲ συγκαταλέγονται, καὶ αἱ ἐξ ὁμωνυμίας τὸ διπλοῦν τῆς ἐννοίας ὑποσημαίνειν δυνάμεναι· οἷον Κάτων εἶπεν, ἀγνοεῖται δὲ ὁ πρεσβύτερος, ἢ ὁ νεώτερος· καὶ αἱ κατὰ τὸ ἐνεστὼς τοῦ χρόνου ἐπαγγελλόμεναι τὸ ἐσόμενον· οἷον σιγῶ.

### § ΣΙΓ΄.

Αἱ προτάσεις πρὸς ἀλλήλας θεωρούμεναι εἰσίν, ἢ ἀντίθετοι, ἢ ἰσοδυναμοῦσαι, ἢ ἀντιστρέφουσαι.

### § ΣΙΔ΄.

Καὶ ἀντίθετοι μὲν λέγονται αἱ πρὸς ἀλλήλας διαμαχόμεναι· διαμάχονται δὲ αἱ προτάσεις, ἢ κατ' ἐναντιότητα, ἢ ὑπαλληλίαν, ἢ ἀντίφασιν.

### § ΣΙΕ΄.

Ἀντίθετοι κατ' ἐναντιότητα αἱ προτάσεις καλοῦνται, ὅταν κατὰ μὲν τὸ ποσόν, καὶ αἱ δύο καθ' ὅλου ὑπάρχωσι, κατὰ δὲ τὸ ποιόν, ἡ μὲν καταφάσκει, ἡ δὲ ἀποφάσκει· οἷον πᾶς ἄνθρωπος λογικός, οὐδεὶς ἄνθρωπος λογικός· τούτων δὲ ἐπὶ μὲν οὐσιώδους χαρακτῆρος, ἡ μὲν καταφάσκουσα ἀληθεύει, ἡ δὲ ἀποφάσκουσα ψεύδεται· ἐπὶ δὲ

ἀδυνάτου, ἀληθεύει μὲν ἡ ἀποφάσκουσα, ψεύδεται δὲ ἡ καταφάσκουσα· οἷον πᾶς ἄνθρωπος τετράπους, οὐδεὶς ἄνθρωπος τετράπους· ἐπὶ ἐνδεχομένου τελευταῖον καὶ αἱ δύο συμψεύδονται· οἷον πᾶς ἄνθρωπος φιλόσοφος, οὐδεὶς ἄνθρωπος φιλόσοφος.

§. ΣΙϚ′.

Ἀντίθετοι καθ' ὑπεναντιότητα ὀνομάζονται, ὅταν ἀμφότεραι αἱ προτάσεις κατὰ μὲν τὸ ποσὸν μερικαὶ ὑπάρχωσι, κατὰ δὲ τὸ ποιὸν ἡ μὲν καταφάσκει, ἡ δὲ ἀποφάσκει· λέγονται δὲ ὑπεναντίαι ὡς ὑπὸ τὰς ἐναντίας οὖσαι· οἷον τὶς ἄνθρωπος λογικός, οὐ πᾶς ἄνθρωπος λογικός· τούτων δὲ πάλιν ἐπὶ οὐσιώδους χαρακτῆρος ἡ μὲν καταφατικὴ ἀληθεύει· ἡ δὲ ἀποφατικὴ ψεύδεται· ἐπὶ ἀδυνάτου ἀληθεύει μὲν ἡ ἀποφατική· ψεύδεται δὲ ἡ καταφατική, ἐπὶ ἐνδεχομένου δέ, καὶ αἱ δύο συναληθεύουσι.

§. ΣΙΖ.′

Ἀντίθετοι δὲ καθ' ὑπαλληλίαν λέγονται, ὅταν κατὰ μὲν τὸ ποιόν, αἱ αὐταὶ ὑπάρχωσι· κατὰ δὲ τὸ ποσὸν διαφέρωσιν· οἷον πᾶς, τὶς, καὶ οὐδείς, οὐ πᾶς· καλοῦνται δὲ ὑπάλληλοι· καθότι αἱ μερικαὶ ὑπὸ τὰς καθόλου εἰσί· καὶ ἐπὶ μὲν οὐσιώδους χαρακτῆρος αἱ μὲν καταφάσκουσαι ὑπάλληλοι συναληθεύουσιν· αἱ δὲ ἀποφάσκουσαι συμψεύδονται· οἷον πᾶς ἄνθρωπος λογικός, τὶς ἄνθρωπος λογικός, οὐδεὶς ἄνθρωπος λογικός, οὐ πᾶς ἄνθρωπος λογικός.

§ ΣΙΗ′.

Ἀντίθετοι τελευταῖον κατ' ἀντίφασιν αἱ προτάσεις προσαγορεύονται, ὅταν καὶ κατὰ τὸ ποσὸν διαμάχονται καὶ κατὰ τὸ ποιόν· οἷον πᾶς, οὐ πᾶς, καὶ οὐδείς, τὶς· ἴδιον δὲ τῶν τοιούτων προτάσεων θατέρας ἀληθευούσης τὴν ἑτέραν ψεύδεσθαι καὶ τὸ ἀνάπαλιν.

§ ΣΙΘ′.

Ἰσοδυναμοῦσαι δὲ προτάσεις καλοῦνται, αἱ διὰ τῆς καταλλήλου προτάσεως τοῦ οὐ συμφωνοῦσαι ἢ ὁμονοοῦσαι ἀντίθετοι· ἵνα δὲ μεταξὺ τῶν ἀντιθέτων προτάσεων συμφωνία συμβῇ, ἀνάγκη τὸ οὐ ἐπὶ μὲν τῶν ἀντιφατικῶν πρὸ τοῦ προσδιορισμοῦ τίθεσθαι ἐπὶ τῶν ἐναντίων καὶ ὑπεναντίων πρὸ τοῦ ῥήματος καὶ ἐπὶ τῶν ὑπαλλήλων καὶ πρὸ τοῦ προσδιορισμοῦ, καὶ πρὸ τοῦ ῥήματος· διότι τὸ ἀρνητικὸν μόριον οὐ ἀναιρετικόν ἐστι τῶν ὧν προτίθεται, εἴθισται δὲ παρὰ τοῖς διαλεκτικοῖς, τὴν μὲν καθόλου καταφατικὴν πρότασιν διὰ τοῦ Α σημαίνειν· τὴν δὲ καθόλου ἀποφατικὴν διὰ τοῦ Ε· τὴν μερικὴν καταφατικὴν διὰ τοῦ Ι καὶ τὴν μερικὴν ἀποφατικὴν διὰ τοῦ Ο.



§ ΣΚ′.

Ἀντιστρέφουσαι τελευταῖον ὀνομάζονται προτάσεις, ὅσαι καὶ τῶν ὅρων αὐτῶν ἀντιστρεφομένων συναληθεύουσιν, ἢ συμψεύδονται· ἀντιστρέφουσι δὲ αἱ προτάσεις, ἢ ἁπλῶς, ἢ κατὰ συμβεβηκός, ἢ κατὰ ἀντίθεσιν, ἢ ἐνδεχομένως.

§ ΣΚΑ′.

Καὶ ἁπλῶς μὲν ἀντιστρέφουσιν, ὅτε μετατίθενται μὲν οἱ ὅροι, ἡ δὲ ποιότης μένει ἀμετάβλητος· οὕτω δὲ ἀντιστρέφουσιν ἡ καθόλου ἀποφατική, καὶ ἡ μερικὴ καταφατική, εἴτε ἡ Ε, καὶ ἡ Ι· οἷον οὐδεὶς ἄνθρωπος λίθος· καὶ οὐδεὶς λίθος ἄνθρωπος· καί τις ἄνθρωπος φιλόσοφος, καί τις φιλόσοφος ἄνθρωπος.

§ ΣΚΒ′.

Κατὰ συμβεβηκὸς δὲ ἀντιστρέφουσιν αἱ προτάσεις, ὅτι οἱ μὲν ὅροι μετατίθενται, τὸ ποιὸν μένει ἀμετάβλητον· τὸ δὲ ποσὸν ἀπὸ τοῦ καθόλου εἰς τὸ μερικὸν μεταβάλλεται· ἀντιστρέφουσι δὲ οὕτως ἡ μὲν Α εἰς τὴν Ι, ἡ δὲ Ε εἰς τὴν Ο.

§ ΣΚΓ′.

Κατ' ἀντίθεσιν ἀντιστρέφουσιν αἱ προτάσεις φυλάττουσαι μὲν τὸ ποσόν· μεταβάλλουσαι δὲ τὸ ποιόν, καὶ τρέπουσαι τὸν ἀντιστρεφόμενον ὅρον εἰς ἀόριστον· οὕτω δὲ ἀντιστρέφουσιν ἡ Α καὶ ἡ Ο· οἷον πᾶς ἄνθρωπος λογικός, οὐδὲν οὐ λογικὸν ἄνθρωπος· καὶ οὐ πᾶς ἄνθρωπος πένης, τὶς οὐ πένης ἄνθρωπος, ἐνδεχομένως τελευταῖον αἱ προτάσεις ἀντιστρέφουσιν, ἐπὶ ἐνδεχομένης ὕλης φυλάττουσαι τὴν αὐτὴν τῶν ὅρων τάξιν· τὸ ποιὸν δὲ μόνον μεταβάλλουσαι· οἷον τὶς περιπατεῖ, καὶ τὶς οὐ περιπατεῖ.

§ ΣΚΔ′.

Καὶ ταῦτα μὲν περὶ κρίσεως καὶ τῶν ἑρμηνευουσῶν αὐτὴν προτάσεων, ἤδη δὲ μεταβαίνομεν εἰς τὴν θεωρίαν τῆς διανοίας καὶ τῶν συνερμηνευουσῶν αὐτὴν προτάσεων, ἢ τοῦ συλλογισμοῦ καὶ τῶν διαφόρων αὐτοῦ εἰδῶν.

## Περὶ τῆς διανοίας καὶ τῆς ἑρμηνείας αὐτῆς, ἢ τοῦ συλλογισμοῦ.

### § ΣΚΕ΄.

Λόγος, λογικόν, ἢ διανοητικὸν ὀνομάζεται ἡ δύναμις τῆς ψυχῆς, δι' ἧς ἀπὸ κρίσεως εἰς κρίσιν μεταβαίνουσα διανοεῖ, ἡ δὲ τῆς τοιαύτης δυνάμεως ἐνέργεια, διάνοια προσαγορεύεται· καὶ αἱ συνερμηνεύουσαι αὐτὴν προτάσεις ἢ οἱ συνερμηνεύοντες αὐτὴν λόγοι, ὁμοῦ ληφθέντες, συλλογισμὸς ἢ ἐπιχείρημα λέγονται· ὥστε συλλογισμός ἐστι, δεῖξίς τινος καθ' ἑτέρου δι' ἑτέρου.

### § ΣΚϚ΄.

Πᾶς λογισμὸς εἰς τὰ ἑξῆς ἐπιστηρίζεται ἀξιώματα· πρῶτον τριῶν προκειμένων ἀνὰ δύο λαμβανομένων συζυγίαι συνίστανται τρεῖς· δεύτερον τὰ τῷ αὐτῷ τὰ αὐτά, καὶ ἀλλήλοις ἐστὶ τὰ αὐτά· τρίτον, τὸ μὲν τρίτῳ ταὐτόν, τὸ δὲ οὔ, οὐδ' ἀλλήλοις ἐκεῖνα ταὐτά· τέταρτον τὰ μὴ τρίτῳ τινὶ ταὐτὰ ἀλλήλοις ταὐτὰ ἐνδέχεται καὶ εἶναι καὶ μή· πέμπτον δύο, δυσὶ μηδαμῶς ταὐτουμένοις ἕτερον, ἑτέρῳ ὄντα ταὐτά, ἀλλήλοις οὐκ ἔστι ταὐτά· ἕκτον τῶν καθ' ἕκαστα καὶ ἀριθμῷ διαφερόντων ἕκαστον ἑκάστου, ἕτερον· ἕβδομον τὸ κατὰ παντός, ἢ τοῦ ἀνωτέρω λεγόμενον καὶ κατὰ τοῦ κατωτέρω ῥηθήσεται· ὄγδοον τὸ τὸ κατὰ μηδενός, ἢ τὸ ἀπὸ τοῦ ἀνωτέρω ἀποφασκόμενον, καὶ ἀπὸ τοῦ κατωτέρω ἀποφάσκεται.

### § ΣΚΖ΄.

Τοῦ συλλογισμοῦ ἢ ἐπιχειρήματος αἱ δύο ὁμολογούμεναι προτάσεις ἡγούμενον ὀνομάζονται· καὶ ἡ μὲν πρώτη μείζων, ἡ δὲ δευτέρα ἐλάσσων λέγεται· ἡ κατασκευαζομένη δὲ ἑπόμενον ἢ συμπέρασμα καλεῖται· οὗτινος οἱ δύο ὅροι ἄκροι λέγονται· καὶ μείζων μὲν ὁ καθόλου, ἐλάσσων δὲ ὁ μερικώτερος· μέσος δὲ ὅρος προσαγορεύεται, ὁ πρὸς ὃν παραβάλλονται, ὅστις καὶ εἰς τὰς ἡγουμένας μόνον εὑρίσκεται.

### § ΣΚΗ΄.

Ἐπειδὴ καὶ ὁ μέσος ὅρος ἢ ὑπόκειται εἰς τὴν μείζονα καὶ κατηγορεῖται εἰς τὴν ἐλάσσονα, ἢ κατηγορεῖται καὶ εἰς τὰς δύο, ἢ ὑπόκειται καὶ εἰς τὰς δύο, ἢ κατηγορεῖται εἰς τὴν μείζονα, καὶ



ὑπόκειται εἰς τὴν ἐλάσσονα, διὰ τοῦτο τέσσαρα μόνα ἔσονται τὰ δυνατὰ συλλογιστικὰ σχήματα.

Πρῶτον· οἷον πᾶς ἄνθρωπος λογικός,  
ὁ Σωκράτης ἐστὶν ἄνθρωπος,  
ὁ Σωκράτης ἐστὶ λογικός.

Δεύτερον· οἷον οὐδεὶς λίθος ζῶον,  
πᾶς ἄνθρωπος ζῶον,  
οὐδεὶς ἄνθρωπος λίθος.

Τρίτον· οἷον πᾶν ζῶον ἔμψυχον,  
πᾶν ζῶον οὐσία,  
τὶς οὐσία ἔμψυχος.

Τέταρτον· οἷον πᾶς ἄνθρωπος ζῶον,  
πᾶν ζῶον ἔμψυχον,  
τὶ ἔμψυχον ἄνθρωπος.

### § ΣΚΘ΄.

Ἐπὶ τούτων δὲ πάλιν τῶν σχημάτων παραλλαγαὶ τῶν προτάσεων διάφοροι θεωρεῖσθαι δύνανται· ἐξ ὧν διάφοροι αὐτῶν τρόποι ἐξάγεσθαι ἔχουσι· καὶ τοῦ μὲν πρώτου σχήματος τέσσαρες, διὰ τῶν φωνῶν **Γράμματα, Ἔγραψε, Γραφίδι, Τεχνικῶς** ὑποσημαινόμενοι, ἐν οἷς τὰ φωνήεντα μόνα παρατηρούμενα, δηλοῦσιν, ὅτι κατὰ μὲν τὸν πρῶτον τρόπον ἅπασαι τοῦ συλλογισμοῦ αἱ προτάσεις εἰσὶ καθόλου καταφατικαί· κατὰ δὲ τὸν δεύτερον ἡ πρώτη καὶ ἡ τρίτη καθόλου ἀποφατικαί, καὶ ἡ δευτέρα καθόλου καταφατική· κατὰ τὸν τρίτον ἡ πρώτη καθόλου καταφατική, ἡ δευτέρα καὶ ἡ τρίτη μερικαὶ καταφατικαί, καὶ κατὰ τὸν τέταρτον τελευταῖον ἡ πρώτη καθόλου ἀποφατική, ἡ δευτέρα μερικὴ καταφατική, καὶ ἡ τρίτη μερικὴ ἀποφατική.

### § ΣΛ΄.

Καὶ τοῦ μὲν **Γράμματα** παράδειγμα ἔστω· τό,  
πᾶν ζῶον ἔμψυχον,  
πᾶς ἄνθρωπος ζῶον,  
πᾶς ἄνθρωπος ἔμψυχον.

τοῦ δὲ **Ἔγραψε** τό·  
οὐδὲν ζῶον λίθος,  
πᾶς ἄνθρωπος ζῶον,  
οὐδεὶς ἄνθρωπος λίθος.

τοῦ **Γραφίδι** τό,

πᾶς ἄνθρωπος νοῦ καὶ ἐπιστήμης δεκτικός,
τὶ ζῶον ἄνθρωπος,
τὶ ζῶον νοῦ καὶ ἐπιστήμης δεκτικόν·
καὶ τελευταῖον τοῦ **Τεχνικῶς** τό,
οὐδεὶς λίθος ζῶον,
τὶς οὐσία λίθος.
οὐ πᾶσα οὐσία ζῶον.

§ ΣΛΑ΄.

Τοῦ δὲ δευτέρου σχήματος τρόποι πάλιν εἰσὶ τέσσαρες, διὰ τῶν φωνῶν **Ἄξετε, Ἄλογον, Ἔγραψε, Μέτριον** ὑποδηλούμενοι. ὧν παραδείγματα εἰσὶ τὰ ἑξῆς :

Α πᾶς ἵππος τετράπουν,
ξε οὐδεὶς ὄρνις τετράποουν,
τε οὐδεὶς ὄρνις ἵππος.
Α πᾶς φιλόσοφος ἄνθρωπος,
λο οὐ πᾶν ζῶον ἄνθρωπος,
γον οὐ πᾶν ζῶον φιλόσοφος.
Ερ οὐδεὶς λίθος ζῶον,
ρα πᾶς ἵππος ζῶον,
ψε οὐδεὶς ἵππος λίθος.
Με οὐδεὶς ἵππος δίπουν,
τρι τὶ ζῶον δίπουν,
ον οὐ πᾶν ζῶον ἵππος.

§ ΣΛΒ΄.

Τοῦ τρίτου σχήματος τρόποι εἰσὶν ἓξ διὰ τῶν φωνῶν **Ἄπασι, Ἰσάκις, Τέτασσο, Ἀσπίδι, Φέριστον Ὁμαλὸς** ὑποσημαινόμενοι, ὧν παραδείγματά εἰσι :

Α πᾶς ἵππος χρεμετιστικόν,
πα πᾶς ἵππος ζῶον,
σι τὶ ζῶον χρεμετιστικόν.
Ι τὶς ἄνθρωπος φιλόσοφος,
σα πᾶς ἄνθρωπος λογικός,
κις τὶς λογικὸς φιλόσοφος.
Τε οὐδεὶς κύκλος εὐθύγραμμος,
τας πᾶς κύκλος σχῆμα,
σο οὐ πᾶν σχῆμα εὐθύγραμμον.
Α πᾶν ζῶον ἔμψυχον,



σπι τὶ ζῶον χρεμετιστικόν,
δι τὶ χρεμετιστικὸν ἔμψυχον.
Φε οὐδεὶς φίλος ἐπιζήμιος,
ρι τὶς φίλος ἄνθρωπος,
στον οὐ πᾶς ἄνθρωπος ἐπιζήμιος.
Ο οὐ πᾶς ἵππος τρέχει,
μα πᾶς ἵππος τετράπουν,
λος οὐ πᾶν τετράπουν τρέχει.

§ ΣΛΓ΄.

Τοῦ τετάρτου σχήματος τελευταῖον, τρόποι συλλογιστικοὶ εἰσὶ πέντε, οἵτινες διὰ τῶν φωνῶν **Πράγμασι, Λάβετε, Θέατρον, Πενιχρόν, Ἴσασι** ὑποσημαινόμενοι· παραδείγματα τὰ ἑξῆς ἔχουσι:

Πραγ πᾶς ἄνθρωπος οὐσία,
μα πᾶσα οὐσία, ὑπάρχει,
σι τὶ ὑπάρχον ἄνθρωπος.
Λα Πᾶς ἵππος χρεμετιστικόν,
βε οὐδὲν χρεμετιστικὸν λογικόν,
τε οὐδὲν λογικὸν ἵππος.
Θε Οὐδεὶς λίθος αἰσθητικόν,
α πᾶν αἰσθητικὸν ζῶον,
τρον οὐ πᾶν ζῶον λίθος.
Πε οὐδὲν γάλα μέλαν,
νι τὶ μέλαν οὐσία,
χρόν οὐ πᾶσα οὐσία γάλα.
Ι Τὶ δίπουν λογικόν,
σα πᾶν λογικὸν ἄνθρωπος,
σι τὶς ἄνθρωπος δίπουν.

§ ΣΛΔ΄.

Οἱ τοῦ τετάρτου σχήματος τρόποι εἰς τοὺς τρόπους τοῦ πρώτου διά τινος τῶν προτάσεων παραλλαγῆς ἀνάγεσθαι ἔχουσιν· ὀνομάζονται δὲ οἱ τῶν τεσσάρων τούτων σχημάτων τρόποι κατάλληλοι καὶ μεθοδικοὶ πρὸς διαφορὰν ἄλλων ἀκαταλλήλων καὶ ἀμεθόδων.

§ ΣΛΕ΄.

Ἐκ τῶν ἑξήκοντα τεσσάρων δυνατῶν τοῦ συλλογισμοῦ τρόπων μόνον οἱ ῥηθέντες ὀρθοὶ εὑρέθησαν εἰς τοὺς ἑξῆς γενικοὺς καὶ μερι-

κοὺς κανόνας ἐπιστηριζόμενοι· ἀλλὰ καὶ τῶν τεσσάρων τούτων σχημάτων μόνον οἱ τοῦ πρώτου εὐχρηστότεροι εἰσί.

## § ΣΛϚʹ.

Κανόνες δὲ γενικοὶ ἐπὶ τῶν τεσσάρων σχημάτων θεωρούμενοι εἰσί, πρῶτον ἀδύνατον τὰς δύο προτάσεις ἀποφατικὰς εἶναι· καθότι ὅταν ὁ μέσος ἀπὸ τῶν δύο ἀποχωρισθῇ ἄκρων, τότε οὗτοι οὔτε συνάπτεσθαι ἐπὶ τοῦ συμπεράσματος εὐλόγως ἔχουσιν, οὔτε ἀποχωρίζεσθαι.

## § ΣΛΖʹ.

Δεύτερον· τῶν δύο προτάσεων θατέρα ἐξ ἀνάγκης καθόλου ἔσεται καθότι ἐκ δύο μερικῶν οὐδὲν ὀρθὸν συνάγεσθαι ἔχει.

## § ΣΛΗʹ.

Τρίτον· θατέρας προτάσεως ἀποφατικῆς οὔσης, καὶ τὸ συμπέρασμα ἀποφατικὸν ἔσεται· καθότι, ὧν τὸ μὲν τρίτῳ τινὶ ταυτίζεται· τὸ δὲ μὴ οὐδόλως ἐκεῖνα ἀλλήλοις ταυτίζονται.

## § ΣΛΘʹ.

Θατέρας προτάσεως μερικῆς οὔσης, καὶ τὸ συμπέρασμα μερικὸν ἔσεται· εἰ δὲ μὴ τὸ καθόλου καταφατικὸν ἐστὶ καὶ καθόλου ἀποφατικόν. Καὶ εἰ μὲν τὸ πρῶτον ἔσονται καὶ αἱ ἡγούμεναι καταφατικαί, ὧν θατέρα μερικὴ ἐξ ὑποθέσεως, ἢ ἡ μείζων, ἢ ἡ ἐλάσσων. Καὶ εἰ μὲν ἡ μείζων ὁ ὑποκείμενος τοῦ συμπεράσματος ὡς καθόλου ἔσεται, καὶ ὑποκείμενος εἰς τὴν ἐλάσσονα ὡς καθόλου καὶ αὐτὴν οὖσαν· ὁ δὲ κατ' αὐτὴν κατηγορούμενος μέσος μερικός· ἔστι δὲ μερικὸς καὶ εἰς τὴν μείζονα, ὥστε ὁ μέσος δὶς μερικὸς ἔσεται, ὅπερ ἄτοπον· εἰ δὲ ἡ ἐλάσσων διὰ τὸν αὐτὸν λόγον ὁ ὑποκείμενος τοῦ συμπεράσματος ὡς καθόλου, ἔσεται καὶ ὑποκείμενος εἰς τὴν μείζονα, ὡς καθόλου καὶ αὐτὴν οὖσαν· ὁ δὲ κατ' αὐτὴν κατηγορούμενος μέσος μερικός· ἔστι δὲ μερικὸς καὶ εἰς τὴν ἐλάσσονα, ὥστε πάλιν ὁ μέσος δὶς μερικὸς ἔσεται, ὅπερ ἄτοπον. Ἐὰν δὲ τὸ συμπέρασμα καθόλου ἀποφατικὸν ὑποτεθῇ, ἔσεται καὶ ὁ ὑποκείμενος καὶ κατηγορούμενος καθόλου· θατέρα δὲ τῶν ἡγουμένων ἀποφατική, θατέρα δὲ διὰ τὴν ὑπόθεσιν ἀποφατική· καὶ ἡ αὐτὴ καταφατική ἐστι καὶ τότε τὸ μερικὸν ἄκρον αὐτῆς καθόλου ἔσεται ἐν τῷ συμπεράσματι, ὅπερ ἄτοπον, ἢ ἡ μὲν καθόλου καταφατική ἐστιν, ἡ δὲ μερικὴ ἀποφατική, καὶ τότε ὁ κατηγορούμενος ὡς μερικὸς οὐ τὸ ἄκρον, ἀλλ' ὁ μέσος ἔσεται· ἔστι δὲ ὁ αὐτὸς ἢ ὑποκείμενος εἰς τὴν μερικὴν ἀποφατικήν, καὶ πάλιν μερικός, ὅπερ ἀδύνατον, ἢ κατηγορούμενος καὶ τότε ὁ ὑποκείμενος αὐτῆς μερικὸς ὤν, καθόλου ἔσεται ἐν τῷ συμπεράσματι, ὅπερ ἄτοπον.



## § ΣΜʹ.

Ἐπὶ δὲ τοῦ πρώτου σχήματος ἡ μὲν μείζων ἔσεται διὰ παντὸς καθόλου· ἡ δὲ ἐλάσσων καταφατική, καὶ τὸ συμπέρασμα ἀδιάφορον, καὶ ὡς πρὸς τὸ ποσόν, καὶ ὡς πρὸς τὸ ποιόν· καθότι τῆς ἐλάσσονος ἀποφασκούσης τὸ μεῖζον ἄκρον εἰς τὴν μείζονα μερικὸν ἔσεται· ἐπὶ δὲ τοῦ συμπεράσματος ἐξ ἀνάγκης ἀποφάσκοντος τὸ αὐτῶν καθόλου ἐκληφθήσεται, ὅπερ ἄτοπον· τῆς μείζονος δὲ μερικῆς ὑποτεθείσης, ὁ μέσος ὡς ὑποκείμενος ἔσεται μερικός· μερικὸς δὲ καὶ εἰς τὴν ἐλάσσονα ὡς καταφατικῆς ἐξ ἀνάγκης, ὥστε δὶς μερικὸς ἔσεται, ὅπερ ἀδύνατον.

## § ΣΜΑʹ.

Ἐπὶ δὲ τοῦ δευτέρου σχήματος θατέρα τῶν προτάσεων ἀποφατικὴ ἔσεται· καθότι καὶ τῶν δύο καταφατικῶν ὑποτεθεισῶν, ὁ μέσος κατηγορούμενος εἰς αὐτὰς ὤν, δὶς μερικὸς ἔσεται, ὅπερ ἄτοπον· ὅθεν ἐπὶ τοῦ σχήματος τούτου τὸ συμπλήρωμα διὰ παντὸς ἀποφατικόν ἐστι.

## § ΞΜΒʹ.

Ἡ μείζων πρότασις ἐπὶ τοῦ αὐτοῦ σχήματος καθόλου ἔσεται καθότι τὸ συμπέρασμα ἀποφατικὸν ὄν, τὸ μεῖζον ἄκρον καθόλου ἔχει· ἵνα δὲ τὸ αὐτὸ καθόλου καὶ εἰς τὴν μείζονα ὑπάρχῃ ὑποκείμενον ὄν, ἀνάγκη ταύτην καθόλου εἶναι.

## § ΣΜΓʹ.

Ἐπὶ τοῦ τρίτου σχήματος ἡ ἔλασσων καταφατικὴ διὰ παντὸς ἔσεται· καθότι ἀποφατικῆς ὑποτεθείσης καὶ τὸ συμπέρασμα ἀποφατικὸν ἔσεται· ὅθεν καὶ τὸν κατηγορούμενον καθόλου ἕξει· ὁ αὐτὸς δὲ καὶ εἰς τὴν μείζονα καταφατικὴν οὖσαν μερικὸς ἔσεται, ὅπερ ἄτοπον.

## § ΣΜΔʹ.

Τὸ συμπέρασμα ἐπὶ τοῦ αὐτοῦ σχήματος μερικὸν ἔσται, καθότι καθόλου ὑποτιθέντος, ὁ ὑποκείμενος καθόλου ἔσεται· ὁ αὐτὸς δὲ καὶ εἰς τὴν ἐλάσσονα καταφάσκουσαν κατηγορούμενος ὤν, μερικός ἐστιν, ὅπερ ἄτοπον.

§ ΣΜΕ'.

Ἐπὶ τοῦ τετάρτου τελευταῖον σχήματος τῆς ἐλάσσονος καταφασκούσης, τὸ συμπέρασμα μερικὸν ἔσται· καθότι τὸ κατηγορούμενον τῆς ἐλάσσονος ἄκρον μερικόν ἐστιν· ἵνα δὲ τὸ αὐτὸ καὶ ἐν τῷ συμπεράσματι μερικὸν ὑπάρχῃ, ἀνάγκη τοῦτο μερικὸν εἶναι.

§ ΣΜϚ'.

Τοῦ συμπεράσματος ἀποφατικοῦ ὄντος, ἐπὶ τοῦ τετάρτου σχήματος, ἡ μείζων καθόλου ἔσεται· καθότι ὁ κατὰ ταύτην ὑποκείμενος ἐπὶ τοῦ συμπεράσματος κατηγορούμενος ὤν, καθόλου ἔσεται· ἵνα δὲ καὶ εἰς τὴν μείζονα καθόλου ὑπάρχῃ, ἀνάγκη ταύτην καθόλου εἶναι.

§ ΣΜΖ'.

Τῆς μείζονος καταφασκούσης ἐπὶ τοῦ αὐτοῦ σχήματος, ἡ ἐλάσσων καθόλου ἔσεται· καθότι ὁ μέσος ἐπὶ τῆς μείζονος καταφασκούσης κατηγορούμενος ὢν μερικός ἐστιν· ὁ αὐτὸς δὲ ὑποκείμενος ὤν, ἐπὶ τῆς ἐλάσσονος μερικός ἐστιν, ὥστε μερικῆς ταύτης ὑποτεθείσης, ὅπερ ἄτοπον.

§ ΣΜΗ'.

Καὶ τοιοῦτοι μέν εἰσιν οἱ μεθοδικοί, οἱ κατάλληλοι συλλογισμοί· οἱ δὲ ἄμεσοι λεγόμενοι συλλογισμοὶ ὑπάρχουσιν, οἱ ἀμέσως συνάγοντες τὸ συμπέρασμα, καὶ διὰ μερικωτέρων πολλῶν διαβαίνοντες· οἷον·

Πᾶσα οὐσία αὐθύπαρκτος·
ἄρα καὶ πᾶν σῶμα,
καὶ πᾶν ζῶον,
καὶ πᾶς ἄνθρωπος,
ἄρα καὶ ὁ Σωκράτης.

§ ΣΜΘ'.

Κατ' ἐπαγωγὴν δὲ συλλογισμὸς λέγεται ὁ ἐκ τῶν μερικωτέρων τὸ καθόλου συμπεραίνων· οἷον·

Ἑρμῆς, Ἀφροδίτη, Ἄρης, Ζεύς, Κρόνος, εἰσὶν ἑτερόφωτα·
ἀλλὰ Ἑρμῆς, Ἀφροδίτη, Ἄρης, Ζεύς, Κρόνος εἰσὶ πλανῆται·
ἄρα πᾶς πλανήτης ἐστὶν ἑτερόφωτος.



§ ΣΝ'.

Κατὰ παράδειγμα δὲ συλλογισμός ἐστιν ὁ ἐξ ὁμοίου μερικοῦ, ἕτερον ὅμοιον μερικὸν συνάγων· οἷον·

Ἡ πρὸς ὁμόρους μάχη κακόν,
ἀλλ' ἡ τῶν Ἀθηναίων πρὸς Θηβαίους μάχη, ἣν πρὸς ὁμόρους,
ἄρα ἡ τῶν Ἀθηναίων πρὸς Θηβαίους μάχη κακόν.

Πρὸς ἀπόδειξιν δὲ τῆς μείζονος ληφθήσεται συλλογισμὸς ἕτερος· οἷον·

Ἡ Θηβαίων πρὸς Φωκεῖς μάχη κακόν.
Αὕτη δὲ μάχη ἣν πρὸς ὁμόρους,
ἄρα ἡ πρὸς ὁμόρους μάχη κακόν.

§ ΣΝΑ'.

Εἰς τοὺς ἀκαταλλήλους ἢ ἀνωμάλους καὶ ἀμεθόδους συλλογισμοὺς ἀνάγονται καὶ τὰ λεγόμενα ἐνθυμήματα, καὶ οἱ σωρεῖται· καὶ ἐνθύμημα μέν, ἐστὶ συλλογισμός, οὗτινος μία τις τῶν ἡγουμένων ἐλλείπει προτάσεων ὑπονοουμένη· οἷον·

Μέγα πρὸς εὐδαιμονίαν ἡ ἀρετή,
τῆς ἀρετῆς ἄρα ἐπιμελητέον.
Καὶ τὰ ἀνθρώπινα τῶν πραγμάτων ἐπισφαλῆ καὶ ἄπιστα,
ἄρα καὶ ὁ πλοῦτος.

§ ΣΝΒ'.

Σωρείτης δέ ἐστιν ἔφοδος συλλογιστική, ἐκ πολλῶν προτάσεων οὕτω διατεταγμένων συγκειμένη, ὥστε τὸ τῆς προτέρας κατηγορούμενον, ὑποκείμενον γίνεσθαι τοῖς ἑπομένοις, ἕως οὗ τὸ πρῶτον ὑποκείμενον τῷ ἐσχάτῳ τῶν κατηγορουμένων συναφθῇ· οἷον·

Ὁ βάσκανος ἀνιᾶται ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς,
ὁ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἀνιώμενος ὑφ' ἑαυτοῦ τήκεται,
ὁ ὑφ' ἑαυτοῦ τηκόμενος αὐτὸς ὑφ' ἑαυτοῦ ἐπιζήμιος,
ὁ ἑαυτοῦ ἐπιζήμιος καὶ ἑαυτῷ πολέμιός ἐστιν,
ὁ ἄρα βάσκανος αὐτὸς ἑαυτῷ πολέμιός ἐστι.

§ ΣΝΓ'.

Ὀνομάζονται δὲ καὶ συλλογισμοὶ σύνθετοι, ὧν αἱ προτάσεις σύνθετοι εἰσί· τοιοῦτοι δὲ εἰσὶν ὁ συμπλεκτικός· οἷον·

Σωκράτης καὶ Πλάτων Ἀριστοτέλους ὑπῆρξαν διδάσκαλοι,
Σωκράτης δὲ καὶ Πλάτων Ἀθηναῖοι ἐγένοντο,
Ἀθηναῖοι ἄρα ὑπῆρξαν οἱ τοῦ Ἀριστοτέλους διδάσκαλοι.

§ ΣΝΔ΄.

Ὁ Αἰτιολογικός, οὗτινος θατέραν τῶν ἡγουμένων, ἢ καὶ ἀμφοτέρας τὰς προτάσεις ἄλλαι κατασκευάζουσιν· οἷον· Πᾶν ἄϋλον ἀθάνατον, διότι ἁπλοῦν ὄν, ἀνώτερον συνθέσεως ἐστίν, οὐδὲ τῇ μάχῃ τῶν ἐναντίων ὑπόκειται, ἐξ ἧς ἡ λύσις, ἐν ᾗ ὁ θάνατος.

Ἀλλ' ἡ ψυχὴ ἄϋλος ἐστὶν ὡς παντοίως ἑαυτὴν μεταβάλλουσα, ὅπερ τῆς ὕλης ἀλλότριον.

Ἄρα ἡ ψυχὴ ἀθάνατος.

§ ΣΝΕ΄.

Ὁ διαζευκτικὸς ὁ τὴν μείζονα διαζευκτικὴν ἔχων· οἷον·
Ἢ ἡ γῆ κινεῖται, ἢ ὁ Ἥλιος·
ἀλλ' ὁ Ἥλιος οὐ κινεῖται,
ἄρα ἡ Γῆ κινεῖται.

§ ΣΝϚ΄.

Ὁ ὑποθετικός, οὗ τινος ἢ ἀμφότεραι αἱ ἡγούμεναι ὑποθετικαί εἰσιν ἢ θατέρα τούτων· καὶ εἰ μὲν τὸ πρῶτον, διόλου ὑποθετικὸς λέγεται· οἷον

Εἰ κατὰ νόμον δίκαιον,
ἀλλ' εἰ κατὰ λόγον καὶ νόμον,
ἄρα εἰ κατὰ λόγον καὶ δίκαιον.

Εἰς δὲ τὸ δεύτερον μικτός· οἷον·

Εἰ ἥμαρτεν ὑπεύθυνός ἐστιν,
Ἥμαρτε δὲ
Ἄρα ὑπεύθυνός ἐστι·

§ ΣΝΖ΄.

Τὸ δίλημμα, εἴτε ὁ ἐκ διμεροῦς, ἢ τριμεροῦς κτλ. προτάσεως συνιστάμενος, καθ' ὃν διαιρέσεως ἡγουμένης τὸ κατὰ τῶν μερῶν συναγόμενον, καὶ κατὰ τοῦ ὅλου λέγεται· οἷον·

Εἰ ὁ Θεὸς ἀγνοεῖ τὸ μέλλον, ἀγνοεῖ αὐτό, ἢ ὡς μὴ δυνάμενος, ἢ ὡς μὴ θέλων,
ἀλλὰ καὶ τὰ δύο εἰσὶ ψευδῆ, ψευδὲς ἄρα ὅτι ὁ Θεὸς ἀγνοεῖ τὸ μέλλον·



§ ΣΝΗ΄.

Ὁ Συγκριτικός, οὗτινος αἱ προτάσεις συγκριτικαί εἰσιν· οἷον·
Ὁ Αἴας ἀνδρειότερος τοῦ Ὀδυσσέως,
Ὁ Ἀχιλλεὺς ἀνδρειότερος τοῦ Αἴαντος,
Ὁ Ἀχιλλεὺς ἄρα τοῦ Ὀδυσσέως ἀνδρειότερος.

§ ΣΝΘ΄.

Ὁ ἐξομοιωτικὸς ὁ ἀπὸ μείζονος ὁμοιωτικῆς οἷον·
Ἔστι τὰ σιτία πρὸς τὸ σῶμα, ὥσπερ πρὸς τὴν ψυχὴν αἱ τῶν λόγων ὑποθῆκαι.
ἀλλὰ δ' ἔλλειψιν ἐκείνων, τὸ σῶμα ἐξασθενεῖ,
ἄρα καὶ ἡ ψυχὴ δι' ἔλλειψιν τούτων

§ ΣΞ΄.

Ὁ ἀναφορικός, οἷον·
Ὅπου ὁ Θησαυρός, ἐκεῖ καὶ ἡ καρδία τῶν φιλοκτημόνων,
Ὁ Θησαυρὸς ἐπὶ γῆς,
ἄρα καὶ ἡ καρδία.

§ ΣΞΑ΄.

Ὁ ἐναντιωματικός, οἷον·
Πᾶς ἄνθρωπος κἂν εἰς ἄκρον παιδείας φθάσῃ ὑπόκειται εἰς ἀπάτην.
Ἀλλ' Ἀριστοτέλης καὶ εἰς ἄκρον παιδείας φθάσας ἄνθρωπος ὅμως ἐστί·
Ἀριστοτέλης ἄρα ἀπάτῃ ὑπόκειται.

§ ΣΞΒ΄.

Λέγεται προσέτι καὶ συλλογισμὸς ἀποδεικτικὸς ἢ ἐπιστημονικός, ἀπαγωγικός, τυπικὸς ἢ ἔνδοξος.

Καὶ ὁ ἀποδεικτικὸς κατ' Ἀριστοτέλην γίνεται ἐξ ἀληθῶν, καὶ πρώτων, καὶ ἀμέσων, καὶ γνωριμωτέρων, καὶ προτέρων, καὶ αἰτίων τοῦ συμπεράσματος, ταῖς μαθηματικαῖς δὲ ἐπιστήμαις ὁ τοιοῦτος συλλογισμὸς μάλιστα χρήσιμος, ὡς καὶ ὁ ἀπαγωγικός, ὁ διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς ἀποδεικνύων τὸ προκείμενον.

§ ΣΞΓ΄.

Ὁ δὲ τυπικὸς οὕτως ὠνόμασται, ὡς ἀπὸ τύπων τινῶν οἷον·

Βίβλου τινός, ἢ ἄλλως δοξαζομένων
ἢ πρεσβευομένων λαμβάνων τὰς ἀρχάς.
οὗτος δὲ καὶ ἔνδοξος καὶ πιθανὸς καὶ διαλεκτικὸς καλεῖται, ὡς χρήσιμος μάλιστα τοῖς περὶ τῶν διαφόρως δοξαζομένων διαλεγομένοις.

§ ΣΞΔ΄.

Ὁ δὲ ψευδώνυμος ἢ σοφιστικὸς συλλογισμὸς ὡς ἀπάτης ὢν γεννήτωρ, ἐπὶ τῶν διαφόρων σοφισμάτων πρὸς ἀποφυγὴν αὐτῆς θεωρεῖται· ἔτσι δὲ σόφισμα λόγος ἐριστικὸς ἐκ προτάσεων, κατὰ μὲν τὸ φαινόμενον ἀληθῶν, κατὰ δὲ τὸ πρᾶγμα ψευδῶν συνιστάμενος.

§ ΣΞΕ΄.

Γίνεται δὲ σόφισμα πρῶτον παρὰ τοὺς συλλογιστικοὺς κανόνας οἷον·

Τὶ λευκὸν ζῶον,
Τὶς λίθος λευκόν,
Τὶς λίθος ζῶον.

§ ΣΞϚ΄.

Δεύτερον ἐξ αὐτῶν τῶν λέξεων, καὶ πρῶτον τὸ ἐξ ὁμωνυμίας σόφισμα οἷον·

Πᾶς Ταῦρος μυκᾶται
ὅρος τί ἐστι Ταῦρος
ὅρος τι ἄρα μυκᾶται.

Δεύτερον, τὸ ἐκ προσῳδίας, ἢ τοῦ τόνου δηλ. οἷον τυρὸς ὁ ἐκ Γάλακτος, καὶ Τύρος πόλις Φοινίκης, ἢ τῶν φωνηέντων· οἷον πυρὸς ὁ σῖτος, καὶ πηρὸς ὁ τὴν ὅρασιν βεβλαμμένος, ἢ τῶν δύο, οἷον, μόρος μὲν ὁ θάνατος, μῶρος δὲ παρ' Ἀθηναίοις ὁ μωρός.

Τρίτον, τὸ ἐκ τοῦ σχήματος, οἷον· τὸ τύπτειν ποιεῖν τι εἰς ἕτερον· ἔστιν ἄρα καὶ τὸ πίπτειν.

Τέταρτον, τὸ ἐξ ἀμφιβολίας, ὡς ἐκ τῆς λέξεως διαφόρως ἀναγινωσκομένης, καὶ διαφόρως νοουμένης· οἷον αὐλητρὶς πέπτωκεν· ὅπερ καὶ αὐλὴ τρὶς πέπτωκε σημαίνειν δύναται, ἣν ἐκ διπλῆς αἰτιατικῆς, ἐν ἀπαρεμφατικῷ λόγῳ ἀμφιβόλως λαμβανομένης· οἷον φημίσε Αἰακίδην Ρωμαίους ὀλέσαι ἕξειν· ἢ ἐξ ἀοριστολογίας· οἷον· Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

§ ΣΞΖ΄.

Τοῖς σοφίσμασι τούτοις, καὶ τὰ ἐκ συνθέσεως τινὲς προστιθέασι.



Γίνεται δὲ τὸ ἐκ διαιρέσεως σόφισμα, ὅτι τις διὰ τὸ συμβαίνειν ἐν ταὐτῷ δύο ἐνεργείας ἐπιχειρεῖ καὶ τὰς δυνάμεις αὐτῶν ἀσυμβάτους ἀποδεῖξαι· οἷον ἐπειδὴ ὁ τὸ πονηρὸν πράσσων οὐ ποιεῖ ἐν ταὐτῷ καὶ τὸ ἀγαθόν· ἄρα οὐδὲ δύναμιν εἰς τὸ ἀγαθοποιεῖν ἔχει· καὶ ἐπειδὴ ὁ αὐτὸς καὶ λέγειν καὶ σιγᾷν ἐν ταὐτῷ, οὐ δύναται, ἄρα ὁ λέγων σιγᾷν οὐ δύναται.

§ ΣΞΗ΄.

Τὸ δὲ ἐκ συνθέσεως ἐξ ἐναντίας γίνεται, ὅτε τις διὰ τὸ συνυπάρχειν τὰς δυνάμεις, συνυπάρχειν καὶ τὰς ἐνεργείας λέγειν· οἷον ἐπειδὴ ὁ περιπατῶν, καὶ καθέζεσθαι δύναται, ἄρα ὁ αὐτὸς καὶ περιπατῶν καὶ καθήμενος ἐστί.

§ ΣΞΘ΄.

Τοιοῦτόν ἐστι καὶ τὸ ἐξ ἀντιφάσεως σόφισμα· γίνεται δὲ τοῦτο ὅτε τις τὰ κατὰ ἄλλο, ἢ ἄλλοτε ἀντιφάσκοντα εἰς τὸ αὐτὸ συμπεραίνειν· οἷον ὁ Αἰθίοψ ἐστι λευκὸς τοὺς ὀδόντας καὶ μέλας τὸ δέρμα· ἄρα ὁ αὐτὸς καὶ λευκός, καὶ μέλας ἐστί.

§ ΣΟ΄.

Τρίτον ἐξ αὐτῶν τῶν πραγμάτων, καὶ

Πρῶτον· τὸ ἐκ τῶν ὅρων τεχνικῶς καὶ φυσικῶς λαμβανομένων οἷον·
Ὅ,τι λαλεῖς, διὰ τοῦ στόματός σου διέρχεται, ἅμαξαν δὲ λαλεῖς, ἅμαξα διὰ τοῦ στόματός σου διέρχεται.

Δεύτερον· τὸ κατὰ συμβεβηκός, ὅτε δηλαδὴ τὸ δι' ἄλλην αἰτίαν συμβαῖνον, ὡς προσόν τινι συμπεραίνεται· οἷον.

Λογικευόμενός τις, ἢ ῥήτωρ κτλ, κακῶς ἐχρήσατο τῇ λογικῇ κτλ. ἄρα παντες οἱ ῥήτορες κτλ. κακοί, ἢ ἡ ῥητορικὴ λογικὴ κτλ. κακή.

Τρίτον· ὅταν ἐκ τοῦ κατά τι, ἐπιχειρῇ τις καὶ τὸ ἁπλῶς συμπεραίνειν· οἷον ὁ Αἰθίοψ ἐστὶ μέλας, ἄρα καὶ κατὰ τοὺς ὀδόντας· ἢ ἐκ τοῦ ἀορίστου τὸ ὡρισμένον· οἷον ἄνθρωπος ἐν Ἀθήναις, ἄρα καὶ ὁ δεῖνα.

Τέταρτον· ὅταν ἐκ μέρους τὸ ὅλον συμπεραίνεται, ἢ ἐκ τοῦ ποτὲ τὸ πάντοτε. οἷον ὁ δεῖνα ἐστὶ κακός, ἄρα καὶ πάντες οἱ ὁμογονεῖς κτλ κακοί. Προεῖπε τις καὶ ἠλήθευσεν, ἄρα πάντοτε ἀληθεύσει κτλ.

Πέμπτον· ἐξ ἀτελοῦς ἀριθμήσεως· οἷον· ὁ ἐν εἱρκτῇ κεκρατημένος ἐξῆλθεν ἢ φυγὼν ἢ τοὺς φύλακας βιάσας, ἢ διὰ χρημάτων τὴν τῶν δικαστῶν κερδήσας ψῆφον.

Ἕκτον· ἐκ τοῦ αἰτεῖσθαι τὸ ἐν ἀρχῇ, τοῦτο δὲ συμβαίνει, ὅταν τὸ προκείμενον δειχθῆναι, ὡς μέσον ἀποδείξεως παραλαμβάνῃ τις, οἷον ὅταν λέγῃ ὅτι τὰ σώματα εἰς τὴν γῆν καταπίπτουσι, διότι εἰς τὸ κέντρον τῆς γῆς φέρεσθαι ἀναγκάζονται.

Ἕβδομον· ἐκ τοῦ τὸ μὴ αἴτιον, ὡς αἴτιον ἐκλαμβάνειν· οἷον οἱ μεθύοντες ἀσχημονοῦσιν, ἄρα ὁ οἶνος κακόν.

Ὄγδοον· ἐκ τοῦ ἐναντίου συνημμένου· οἷον εἰ γράφω κινῶ τὴν χεῖρα· ἄρα εἰ οὐ γράφω οὐ κινῶ.

Ἔνατον· ἐκ τῆς ἀπὸ γένους εἰς γένος μεταθέσεως, ὅταν ἀπὸ τοῦ νοεῖσθαι τὰ καθόλου, καὶ εἰς τὸ ὑπάρχοντα αὐτὰ ἀποδεῖξαι μεταβαίνει.

## § ΣΟΑ΄.

Τοιαῦτα μὲν εἰσὶ τὰ τῶν σοφισμάτων εἴδη· παρὰ δὲ τοῖς ἀρχαίοις, καὶ ἄλλα τινὰ ἀναφέρονται τὰ ἀπὸ τῆς στοᾶς ἀποδιδόμενα· οἷον ὁ Ἐγκεκαλυμμένος, ὁ Κροκόδειλος, ὁ Κερατίνης κτλ.

## § ΣΟΒ΄.

Σοφίσματα δὲ, οἷον τινὰ ἐμφαίνειν καὶ ὁ τοῦ Σοφιστοῦ χαρακτὴρ, καὶ ὁ τόνος τῆς φωνῆς, καὶ τῆς ἀπαγγελίας ὁ τρόπος, καὶ τοῦ προσώπου τὸ σχῆμα κτλ. ὁ δὲ τῷ ὄντι σοφὸς, σώφρων καὶ καθεστὼς καὶ φωνὴν καὶ σχῆμα, καὶ ὢν καὶ φαινόμενος μόνης φροντίζει τῆς ἀληθείας· τὸ δὲ τοῦ ψεύδους περικάλυμμα δια λόγων ἀληθῶν ἀφαιρῶν λαμπροτέραν ταύτην ἀναδείκνυσι.

## § ΣΟΓ΄.

Καὶ ταῦτα μὲν περὶ ἐννοιῶν, καὶ κρίσεων, καὶ διανοίας, καὶ τῶν σημαινόντων αὐτὰς ὅρων ἀποφάνσεων καὶ συλλογισμῶν. Ἐπειδὴ δὲ καὶ τῶν μέχρι τοῦδε ῥηθέντων, καὶ τῶν ῥηθήσεσθαι μελλόντων σκοπὸς καὶ τέλος ἐστὶν ἡ γνῶσις τῆς ἀληθείας, πρὶν τὰ περὶ Μεθόδου θεωρήσωμεν, ἴδωμεν τί τὸ ἀληθὲς καὶ τὸ ἀπάτης πρόξενον, τί τὸ βέβαιον, τὸ πιθανὸν κτλ.

## § ΣΟΔ΄.

Ἀληθὲς λέγεσθαι δύναται, τὸ ἀεὶ ὡσαύτως ἔχον, μηδέποτε μεταβαλλόμενον, μηδὲ τὴν ἰδίαν κατάστασιν ψευδόμενον, καὶ κατ' αὐτὴν τὴν ἐκδοχὴν ἀληθὲς ἓν μόνον ἐστί, καὶ ἀλήθεια μία, ὁ τῶν ὅλων Δημιουργός· ἀληθὲς ὡσαύτως δυνατὸν καλεῖν καὶ τὸ φύσει ὑπάρχον· ἀλήθεια δὲ κοινότερον ῥηθῆναι δύναται ἡ τῶν ἐννοιῶν, κρίσεων καὶ διανοίας μετὰ τῶν ὑπ' αὐτῶν παρισταμένων ἀντικειμένων ἁρμονία, ὡς καὶ ἡ τῶν λόγων μετὰ τῶν πρὸς ἃ ἀναφέρονται νοημάτων ἢ βουλημάτων συμφωνία.



## § ΣΟΕ΄.

Τὴν ἀλήθειαν τινὲς μὲν μεταφυσικῶς, καὶ λογικῶς, καὶ ἠθικῶς θεωροῦντες, μεταφυσικῶς ἀληθὲς ὀνομάζουσι τὸ ἀνήκουσαν αὐτῷ ἔχον οὐσίαν· λογικὴν δὲ καλοῦσι ἀλήθειαν τὴν τῶν ἀντικειμένων μετὰ τῶν ἐννοιῶν ἁρμονίαν· καὶ ἠθικὴν τὴν τῶν νοημάτων, ἢ βουλημάτων συμφωνίαν.

## § ΣΟϚ΄.

Τινὲς δὲ καὶ αἰσθητικὴν ἀλήθειαν τοῖς τρισὶ προστισθέντες, μεταφυσικὴν ἀλήθειαν λέγουσι τὴν τῶν ἐννοιῶν μετὰ τῶν ἀντικειμένων συμφωνίαν· λογικὴν τὴν τῶν ἐννοιῶν, καὶ κρίσεων καὶ διανοιῶν ἁρμονίαν· αἰσθητικὴν τὴν σύμφωνον τῇ τοῦ καλοῦ κρίσει γνῶσιν· καὶ ἠθικὴν τὴν πρὸς τὰ νοήματα τῶν λόγων συμφωνίαν. Λέγεται προσέτι καὶ ὡς ἐκ τῶν ἀντικειμένων ἀλήθεια μεταφυσική, φυσική, μαθηματικὴ κτλ. ἢ ὡς πρὸς μεταφυσικάς, φυσικάς, μαθηματικὰς κτλ. θεωρίας ἀναφερομένη.

## § ΣΟΖ΄.

Καὶ τὸ ψεῦδος δέ, ὡς καὶ ἡ ἀλήθεια, διαφόρως θεωρούμενον, εἰς μεταφυσικόν, λογικόν, ἢ καὶ ἠθικὸν διαιρεῖται, τὸ ἐναντίον τῇ ἀληθείᾳ ὑπάρχον.

## § ΣΟΗ΄.

Ὅταν ὁ νοῦς ἡμῶν πληροφορίαν ἔχῃ, ὅτι αἱ ἔννοιαι, αἱ κρίσεις καὶ τὰ διανοήματα αὐτοῦ ἀληθῆ εἰσι, τότε ἡ τοιαύτη αὐτοῦ κατάστασις βεβαιότης καλεῖται· ἔστι δὲ καὶ αὕτη κατά τινας τριπλῆ, μεταφυσικὴ ἢ λογική, φυσική, ἠθική· μεταφυσικὴ μὲν ἢ λογικὴ ἐστὶν ἡ ἐπὶ τῶν μηδὲ εἶναι, μηδὲ νοηθῆναι ἄλλως δυναμένων· οἷον τὸ ὅλον μεῖζόν ἐστι τοῦ ἰδίου μέρους· ὁ κύκλος ἐστὶ περιφερής· φυσικὴ δὲ ἐπὶ τῶν ἄλλως μὲν συμβαίνειν κατὰ τοὺς τῆς φύσεως ὅρους μὴ πεφυκότων· ἄλλως δὲ ὑπὸ τῆς φαντασίας ἀναπλασθῆναι δυναμένων· καὶ ἠθικὴ ἥτις καὶ ἱστορικὴ ὀνομάζεται, ἡ ἐπὶ βεβαίων μὲν ὡς γεγονότων, ἢ ὄντων, ἢ ἐσομένων· καὶ ἄλλως δὲ καὶ γενέσθαι καὶ νοηθῆναι δυναμένων.

## § ΣΟΘ΄.

Τριχῶς δὲ ἡ βεβαιότης θεωρεῖσθαι ἔχει, ὡς ἐκ τοῦ ὑποκειμένου

δηλ. ἐκ τοῦ ἀντικειμένου καὶ ἐκ τῶν μέσων δι' ὧν αὕτη τῇ ψυχῇ ἐμποιεῖται.

§ ΣΠ΄.

Καὶ βεβαιότης μὲν ἐκ τοῦ ὑποκειμένου λέγεται, ὅταν ὁ νοῦς μηδόλως διστάζῃ περὶ τῆς ἀληθείας τοῦ ἀντικειμένου· ἀλλ' αὕτη πολλάκις ἀσύμφωνος ὡς πρὸς τὰ πράγματα ἐλέγχεται.

§ ΣΠΑ΄.

Βεβαιότης δὲ ὡς ἐκ τοῦ ἀντικειμένου καλεῖται, ὅταν τοῦτο μεταφυσικῶς, φυσικῶς, ἢ ἠθικῶς βέβαιον ὑπάρχῃ.

§ ΣΠΒ΄.

Βεβαιότης τέλος ὡς ἐκ τῶν μέσων ἐξάγεται, ὅταν ταῦτα ἱκανὰ πρὸς βεβαίωσιν τοῦ προκειμένου ὑπάρχωσι· τοιαῦτα δέ εἰσιν αἰσθητήρια καλῶς αἰσθανόμενα· νοῦς ὑγιής, ἔννοιαι ἐναργεῖς, κρίσεις ἀναγκαίως συνάπτουσαι τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, καὶ διάνοια ἐξ ὀρθῶν κρίσεων τὸ συμπέρασμα συνάγουσα.

§ ΣΠΓ΄.

Διάφοροι ὑπῆρξαν αἱ περὶ βεβαιότητος δόξαι τῶν φιλοσόφωνν διότι τῶν Πλατωνικῶν, ἄλλοι μέν, ὡς καὶ ὁ Πλάτων αὐτός, τὸν νοῦ. μόνον πρόξενον βεβαιότητος εἶναι ἔλεγον· ὁ δὲ Ἀρκεσίλαος μηδὲν βεβαίως εἰδέναι ἡμᾶς δύνασθαι διϊσχυρίζετο,ᾧ καὶ Πύρρων ἐπηκολούθησε· Καρνεάδης δὲ ἐδόξαζεν ἐνυπάρχειν τῇ φύσει τῶν πραγμάτων τὴν ἀλήθειαν· ἡμῖν δὲ ἀκατάληπτον διαμένειν.

§ ΣΠΔ΄.

Τῶν δὲ νεωτέρων ὁ μὲν Καρτέσιος ἀρχὴν βεβαιότητος καὶ κριτήριον ἀληθείας ἔλεγε τὴν διακεκριμένην τῆς διαφωνίας καὶ συμφωνίας τῶν ἐννοιῶν ἀντίληψιν· ὁ δὲ Μαλεμβράγχιος ἐκεῖνα μόνα βέβαια ἔλεγεν, ὧν τὴν διακεκριμένην ἀντίληψιν ἀρνηθῆναι ἡ ψυχὴ οὐ δύναται.

§ ΣΠΕ΄.

Ὁ δὲ Κονδηλάκιος ἀρχὴν βεβαιότητος καὶ κριτήριον ἀληθείας λέγει τὴν ἐνάργειαν, εἰς αἰσθητικήν, λογικὴν καὶ πραγματικὴν αὐτὴν διαστέλλων· καὶ τῆς μὲν κατ' αἴσθησιν ἐναργείας ἀρχὴν λέγει τὴν σαφῆ καὶ διακεκριμένην ἀντίληψιν· τῆς δὲ κατὰ λόγον τὴν ταυτότητα· τῆς δὲ πραγματικῆς τὴν ἀμετάβλητον καὶ ὁμοειδῆ τῶν αἰσθήσεων μαρτυρίαν.



§ ΣΠϚ΄.

Ἀλλ' ἀσφαλὲς βεβαιότητος καὶ κριτήριον ἀληθείας ἀδιάπτωτόν ἐστι τὸ μὴ ἀντιφάσκειν· ὅθεν καὶ βέβαιον ἢ ἀληθὲς ἐκεῖνό ἐστιν, οὗ τὸ ἐναντίον ἀντιφάσκον, ἢ ἀδύνατον ὑπάρχει.

§ ΣΠΖ΄.

Τὸ δὲ ἀδύνατον τριχῶς ἐκλαμβάνεσθαι ἔχει· μεταφυσικῶς, φυσικῶς, καὶ ἠθικῶς· καὶ μεταφυσικῶς ἢ ἀπολύτως ἀδύνατον λέγεται τὸ αὐτὸ καὶ εἶναι, καὶ μὴ εἶναι ἐνταυτῷ τὸ αὐτό· φυσικῶς τὸ εἰς τοὺς νόμους τῆς φύσεως ἀντικείμενον· καὶ ἠθικῶς τὸ μηδὲ μεταφυσικῶς, μηδὲ φυσικῶς ἀδύνατον ὑπάρχον, δυσκόλως δέ, ἢ μηδέποτε συμβῆναι δυνάμενον.

§ ΣΠΗ΄.

Ὅταν δὲ μηδὲ τὰ αἰσθητήρια καλῶς αἰσθάνονται, ἡ δὲ κρίσις ὑπὸ τῆς φαντασίας, καὶ τῶν παθῶν, καὶ τῶν προλήψεων καταστρέφηται, καὶ ὁ νοῦς τὸ φαινόμενον ἀντὶ τοῦ ὄντος παραδέχηται, τότε αὐτὸς ἀπατᾶσθαι λέγεται· ὥστε ἀπάτη ἐστὶν ἡ τοῦ φαινομένου ἀντὶ τοῦ ὄντος ἀποδοχή· συμβαίνει δὲ ἡ τοιαύτη εἰς τὸν ἄνθρωπον κατάστασις, ὡς ἐκ τῆς μὴ ὀρθῆς τῶν μέσων χρήσεως, δι' ὧν τὰς γνώσεις λαμβάνει.

§ ΣΠΘ΄.

Ἐκ τούτων μανθάνομεν, ὅτι ὁ ἄνθρωπος ἀπατᾶσθαι δύναται διὰ τῶν σοφισμάτων, περὶ ὧν ἀνωτέρω εἴπομεν, διὰ τῶν αἰσθήσεων, διὰ τῆς φαντασίας κτλ.

§ Σϟ΄

Καὶ πρῶτον ὅταν ἢ τὰ αἰσθητήρια πάσχωσιν, ἢ τῶν αἰσθητῶν αἱ προσβολαὶ μὴ ἀνάλογοι ὦσιν, ἢ τὰ μέσα, δι' ὧν τὸ αἴσθημα προσγίνεται, μὴ ἁρμόζοντα, τότε τοῦ λόγου μὴ ἐπιστατοῦντος, οὐ μικραὶ συμβαίνουσιν ἀπάται.

§ ΣϟΑ΄.

Δεύτερον φαντασία τὰ φάσματα ὡς πράγματα ὑπολαμβάνουσα ἀπάτης παραίτιος γίνεται· ὡσαύτως καὶ μνήμη πολλὰ καὶ διάφορα ὁμοῦ καὶ ἀτάκτως κατέχειν προσπαθοῦσα καὶ προσοχῇ ἀδύνατος,

ἢ εἰς πολλὰ καὶ ποικίλλα προσέχειν τείνουσα μεγάλας ἐπιφέρουσιν ἀπάτας.

### § ΣϟΒʹ.

Τρίτον τὰ πάθη, φιλία, ἔχθρα κτλ. τῷ λόγῳ ἀντιφερόμενα, εἰς μυρίας τὸν ἄνθρωπον ἐκτραχηλίζουσιν ἀπάτας· πολλὰς δὲ καὶ αἱ γλῶσσαι προξενοῦσιν ἀπάτας δι' ἔλλειψιν, ἢ διὰ τὸ πολυσήμαντον καὶ ἀπροσδιόριστον τῶν λέξεων.

### §. ΣϟΓʹ.

Διὰ τῆς προλήψεως τελευταῖον ὁ ἄνθρωπος πολλὰς καὶ μεγάλας καὶ βλαπτικωτάτας παραδέχεται ἀπάτας· ἔστι δὲ πρόληψις ἀπόφανσις τῆς ψυχῆς ἀλόγως περί τι δοξαστέον προκατειλημμένης καὶ πᾶν τὸ ἐναντίον αὐτῷ ὡς ψευδὲς ὑπολαμβανούσης· αἰτία δὲ τῆς τοιαύτης προλήψεως, καὶ ἄλλα μὲν πολλά, μάλιστα δὲ ἡ κακὴ ἀναγωγή.

### § ΣϟΔʹ.

Γίνεται δὲ ὁ ἄνθρωπος προληπτικός, ἢ κατὰ μίμησιν, ἢ ἐκ συνηθείας, ἢ ἐξ ὑπολήψεως προσώπων, χρόνων, τόπων, ἢ φατρίας, ἢ ἐκ φιλαυτίας κτλ.

### § ΣϟΕʹ.

Τὰς ὡς ἐκ τῆς τοιαύτης καταχρήσεως προερχομένας ἀπάτας μόνον ἡ κατὰ λόγον χρῆσις τῶν αὐτῶν γνωστικῶν μέσων ἀποβαλεῖν δύναται· δῆλον δὲ ὅτι μόνον ὁ πρὸς γνῶσιν τοῦ ἀληθοῦς καὶ πρὸς ἐκτέλεσιν τοῦ ἀγαθοῦ ἀφορῶν σκοπὸς ἀφορμὴ τῆς ὀρθῆς τῶν γνωστικῶν μέσων χρήσεως ἔσεται· δι' ἣν ὁποιανδήποτε ἀποβάλλειν ἀπάτην δυνατόν ἐστιν.

### § ΣϟϚʹ.

Ὅταν λοιπὸν τὴν περί τι ἀποβάλλωμεν ἀπάτην καὶ πληροφορίαν ἐντελῆ περὶ τῆς ἀληθείας αὐτοῦ λάβωμεν, τότε βεβαιότητα περὶ αὐτοῦ ἀληθῆ ἔχειν λεγόμεθα· ὅταν δὲ διστάζοντες περί τι λόγοι τινὲς πείθουσιν ἡμᾶς δέχεσθαι τοῦτο μᾶλλον, ἢ ἐκεῖνο μετά τινος ὅμως ἀμφιβολίας περὶ τῆς ἀληθείας αὐτοῦ, τότε πιθανὸν ὡς πρὸς ἡμᾶς τὸ περὶ οὗ ὁ λόγος ὀνομάζεται.

### § ΣϟΖʹ.

Ὥστε πιθανὸν ἐστι, ἐκ μὲν τοῦ ἀντικειμένου καὶ τῶν μέσων, δι'



ὧν πιθανολογεῖται, τὸ διὰ λόγων περισσοτέρων ἢ ὀλιγωτέρων, ἀσθενεστέρων ἢ ἰσχυροτέρων μὴ ἀναγκαίων ὅμως, μηδὲ διόλου ἀναντιρρήτων κατασκευαζόμενον· ἐκ δὲ τοῦ ὑποκειμένου πιθανὸν καλεῖται· ὅπερ ἡ ψυχὴ ὑποπτεύεται μέν, ὅτι δυνατὸν ἀπατᾶσθαι διὰ δὲ λόγους τινὰς οὕτω φρονεῖν μᾶλλον ἢ ἄλλως αἱρεῖται· ὅθεν καὶ ὡς ἐκ τοῦ ὑποκειμένου τὸ βέβαιον ὡς πρὸς ἕνα τινὰ πιθανὸν ὡς πρὸς ἕτερον ἔσεται.

### § ΣϟΗʹ.

Τὸ πιθανόν, ἵνα τοιοῦτον ᾖ, ἀνάγκη πρῶτον δυνατὸν εἶναι· διότι τὸ ἀδύνατον, διόλου ἄλογον ἐστί.

Δεύτερον· ἐπὶ λόγων τινῶν ἐρείδεσθαι· διότι ἄνευ λόγων ἁπλῶς μὲν δυνατόν, οὐδέποτε δὲ πιθανὸν ἔσεται· διαφέρει δὲ τοῦτο ἐκείνου, καθότι τὸ πιθανὸν καὶ δυνατόν ἐστιν· οὐχὶ δὲ καὶ πᾶν δυνατὸν καὶ πιθανὸν καὶ δυνατόν.

Τρίτον· τοῦ ἐνδόξου διακρίνεσθαι· καθότι τὸ ἔνδοξον ἄλλοις μὲν πιθανόν ἐστιν, οὐχὶ δὲ καὶ ἡμῖν.

Τέταρτον· καὶ κατὰ ποίησιν πιθανοῦ, καθότι ταύτης ἔργον τὸ πλάττειν ὡς πιθανόν, καὶ τὸ μηδέποτε οὕτω γενέσθαι δυνάμενον.

### § ΣϟΘʹ.

Ὅρια δὲ τοῦ πιθανοῦ ἐκ μὲν θατέρου μέρους τὸ βέβαιον ἔσεται· ὅπερ ὡς ὅλον ἐκλαμβάνειν δυνατόν· ἐκ δὲ τοῦ ἑτέρου ἡ παντελὴς ἄγνοια, ἣν ὡς μηδὲν λογιστέον, μεταξὺ δὲ τῆς ἀγνοίας καὶ τοῦ βεβαίου διάφοροι πιθανολογίας ὑπονοούμεναι βαθμίδες, ἢ μοῖραι, τὸ μᾶλλον ἢ ἧττον δείξουσι πιθανόν.

### § Τʹ.

Οἱ λόγοι δὲ δι' οὓς τὸ προκείμενον μᾶλλον ἢ ἧττον πιθανὸν λέγεται, ἢ τοῦ πιθανοῦ αἱ μοῖραι, ἢ οἱ βαθμοί· ὡς μὲν ἀριθμούμενοι θεωρούμενοι περισσότεροι, ἢ ὀλιγώτεροι ἔσονται· ὡς δὲ μετρούμενοι μείζονες ἢ ἐλάσσονες· ὡς δὲ ζυγοστατούμενοι βαρύτεροι ἢ κουφότεροι· καὶ ὡς πρὸς τὴν δύναμιν ἐξεταζόμενοι ἐπικρατέστεροι ἢ ἀσθενέστεροι.

### § ΤΑʹ.

Ὅτε λοιπὸν οἱ λόγοι ὁμοειδεῖς ὄντες ἀριθμεῖσθαι δύνανται, τότε τὸ πιθανὸν μαθηματικὸν λέγεται· ὅπερ καὶ εἰς μαθηματικὰς πιθανολογίας θεωρεῖται, καὶ δι' ἀριθμῶν ὑποσημαίνεσθαι ἔχει· ὅταν δὲ

ἄλλως οἱ λόγοι ἐξετάζονται, τότε δυναμικὸν τὸ πιθανὸν ὀνομάζεται· καὶ εἰς φιλοσοφίας ὑποθέσεις ἐφαρμόζεσθαι δύναται.

## § ΤΒ΄.

Οὕτω φέρ' εἰπεῖν· ἐὰν προτεθῇ, ἵνα τῶν ἀπὸ μονάδος μέχρι τῶν δέκα ἀριθμουμένων χαρακτήρων ἕνα τινὰ μὴ βλέπων λάβω, βέβαιόν ἐστιν, ὅτι ἕνα τινὰ λήψομαι· ἐὰν δὲ καὶ περιττόν, τότε πιθανόν, ὡς 5 : 10 ἔσεται, ὅτι περιττῶς ληφθήσεται· ἐὰν δὲ καὶ τὸν 7, τότε 1 :10 τὸ πιθανὸν λογισθήσεται, καὶ 9]10 τοῦ βεβαίου ἀπολειφθήσεται.

## § ΤΓ΄.

Οὕτω προταθέντος, ἵνα τῶν ἐν τῷ πίνακι (II) ἀριθμῶν ἕνα τινὰ λάβω, τὸ βέβαιον ἔσται 36/36 = 1. ἐὰν δὲ προτεθῇ, ἵνα τῶν 7 ἕνα, τὸ πιθανὸν ἔσται 6/36=1/6 ἐλλεῖπον τοῦ βεβαίου 5/6· τὸ δὲ πιθανὸν τοῦ τῶν 7 ἕνα λαβεῖν, πρὸς τὸ τῶν 11 ἕνα, ἔσεται· 6/36, 2/36, ὡς $^3/_{18}$ τὸ πρῶτον δηλ.τοῦ δευτέρου τριπλασίως πιθανώτερον.

| | | | | | |
|---|---|---|---|---|---|
| 7 | 6 | 5 | 4 | 3 | 2 |
| 8 | 7 | 6 | 5 | 4 | 3 |
| 9 | 8 | 7 | 6 | 5 | 4 |
| 10 | 9 | 8 | 7 | 6 | 5 |
| 11 | 10 | 9 | 8 | 7 | 6 |
| 12 | 11 | 10 | 9 | 8 | 7 |

## § ΤΔ΄.

Ὡσαύτως ὑποτεθέντος ὅτι ἐν πόλει τινί,τὸ 1/100 κατὰ μῆνα ἀποθνήσκει, τὸ πιθανόν, ὅτι εἷς τις, εἰς ἑνὸς ἔτους διάστημα ἀποθανεῖται, ἔσεται 3/25, ὅτι δὲ ζήσεται, 22/25.

## § ΤΕ΄.

Ἐὰν δὲ δοθῇ, ὅτι συμφωνήσαντος τινὸς μετὰ ἐννέα ἑτέρων, ἵνα ἐπιβῇ πλοίου 7 μόνον εἰς τὸ πλοῖον εἰσῆλθον· καὶ ὅτι 200 πάντες οἱ μὲν τῷ πλοίῳ ἦσαν, ὧν 150 εἰς τὴν γῆν ἀποβάντες καὶ μετὰ 250 ἑνωθέντες μάχην συνεκρότησαν, μόνοι δὲ 30 ἐσώθησαν, καὶ ζητηθῇ τὸ πιθανὸν περὶ τοῦ συμφωνήσαντος αὐτοῦ, δῆλον, ὅτι τὸ πιθανὸν τοῦτο ἐξ ἄλλων ἐξηρτημένον ἐστί· καθότι ὅτι μὲν ἐπέβη τοῦ πλοίου ὡς 7/10 πιθανὸν ἐστίν· ὅτι δὲ καὶ ἐπιβὰς εἰς τὴν μάχην συνεξῆλθεν, ὡς 3/4· ὅτι δὲ καὶ ἐφονεύθη ὡς 37/40· ἑπομένως δὲ τὸ ὅλον πιθανὸν εὑρεθήσεται διὰ τοῦ πολλαπλασιασμοῦ τῶν μερικῶν πιθανῶν ὡς 777/1600· εἴτε 17/35 ὡς ἔγγιστα.

## § ΤϚ΄.

Καὶ οὕτω πως εὑρίσκεται τὸ πιθανὸν εἰς τὰς δι' ἀριθμῶν ὑποση-



μαινομένας πιθανολογίας· ὅτε δὲ περὶ ἄλλων πιθανῶν ἡ ζήτησις γίνεται, ἐν οἷς ἡ ποιότης τῶν λόγων ἐξετάζεται, τότε κατὰ τὸ μᾶλλον καὶ ἧττον δυσκόλως τὸ πιθανὸν εὑρίσκεται·ὅθεν καὶ μεγάλης καὶ σκέψεως καὶ ἐπικρίσεως γίνεται χρεία πρὸς εὕρεσιν τοῦ πιθανοῦ.

Ἐπειδὴ δὲ καὶ ἄλλα μὲν ἄλλως ἐπικρίνειν δυνατόν, ἄλλα δὲ ἄλλως ὡς ἕκαστον ἔχει φύσεως, ὡς ἐκ τῆς διαφόρου ταύτης ἐπικρίσεως, καὶ πρὸς εὐκολωτέραν τοῦ πιθανοῦ εὕρεσιν ἡ κριτικὴ ὀνομασθεῖσα ἐπενοήθη,ἥτις ἐστὶ θεωρία,περὶ τοῦ ὃ δεῖ φρονεῖν καὶ κρίνειν, ὡς ἔκ τινων διδομένων περὶ τὰ ὁπωσοῦν διαλανθάνοντα, ἢ ἀμφιβαλλόμενα διαλαμβάνουσα.

## § ΤΖ΄.

Τῆς Κριτικῆς δὲ ταύτης, εἴδη γενικώτερα ἀριθμοῦνται τρία· δηλ. συμβολική, λογιστικὴ καὶ πραγματική· καὶ ἡ μὲν συμβολικὴ διά τινων συμβόλων ἢ σημείων τὰ ὑποδηλούμενα διαγνῶναι σπουδάζει· ἡ δὲ λογικὴ περὶ τοὺς λόγους ἐνασχολεῖται, καὶ τὸ ὀρθὸν εἰς διάφορα συγγραμμάτων εἴδη ἐξετάζει· ἡ πραγματικὴ τελευταῖον τὰ ὑπ' ἄλλων νοηθέντα, ἢ πραχθέντα, ἢ τὰ γενόμενα ἢ ἐσόμενα διερευνᾷ·

## § ΤΗ΄.

Καὶ τῆς μὲν συμβολικῆς εἴδη δύο ἀναφέρονται, ἡ σχηματικὴ δηλ. εἰς ἣν ἥ τε ὀνειροκριτική, καὶ φυσιογνωμική, σωματοσκοπία δηλ.κρανιοσκοπία,μετωποσκοπία κτλ. καὶ ἱεροφαντική,ἢ ἱερογλυφικὴ ἀνάγεσθαι ἔχουσι, καὶ ἡ λεκτικὴ ἡ τὰ αἰνίγματα καὶ τοὺς γρίφους ἐξιχνιάζειν ἐπιβαλλομένη.

## § ΤΘ΄.

Τῆς δὲ λογικῆς εἴδη τρία, ἡ γραμματικὴ δηλ. ἡ ποιητική, καὶ ἡ ῥητορική· ταύταις δὲ καὶ τὴν ἀφηγηματικὴν καὶ δογματικὴν τινὲς προστιθέασι.

## § ΤΙ΄.

Καὶ τῆς μὲν γραμματικῆς ἔργον τὰ τῶν γραμματικῶν ἐπικρίνειν τὴν κατὰ τοὺς τύπους τῶν φωνῶν ὀρθότητα ἐρευνῶσα, τὴν κατὰ τὰς δυνάμεις αὐτῶν χρῆσιν, τὴν ὀρθῶς καὶ καταλλήλως ἔχουσαν αὐτῶν σύνταξιν, τὴν Προσῳδίαν, τὸν Ἑλληνισμὸν κτλ.

## § ΤΙΑ΄.

Ἡ δὲ ποιητικὴ τὰ τῶν ποιητῶν διερευνῶσα, τὰ λεγόμενα πάθη

ἐξετάζει, τὸ τῆς διαλέκτου ἴδιον, τὸν ρυθμὸν τοῦ μέτρου, τὴν ὑποσημαινομένην ἀλληγορίαν, τὸ ἠθικὸν τοῦ ποιήματος, τὸ εἶδος αὐτοῦ· διότι ἄλλος ὁ τῇ ἐποποιΐᾳ ἀνήκων χαρακτήρ, ἄλλος ὁ τῷ δράματι κτλ. τελευταῖον δὲ καὶ τὸ πιθανὸν τῶν πλαττομένων καὶ εὔλογον, διασκοπεῖ.

## § ΤΙΒ'.

Ἡ δὲ ρητορικὴ τοὺς ρητορικοὺς ἐπικρίνουσα λόγους, τὴν περὶ αὐτοὺς εὕρεσιν ἐξετάζει, τὴν διάθεσιν, τὴν ἑρμηνείαν κτλ,

## § ΤΙΓ'.

Τῆς δὲ ἀφηγηματικῆς σκοπός, τὰ τῶν ἱστοριῶν ἐπικρίνειν· ὅθεν καὶ εἰ εὐτάκτως προβαίνουσι τὰ τῆς ἀφηγήσεως διερευνᾷ, εἰ συνεχῶς καὶ ἀκολούθως, εἰ ἀνελλειπῶς καὶ συμμέτρως τῇ χρείᾳ κτλ.

## § ΤΙΔ'.

Τῆς δογματικῆς τελευταῖον ἔργον τὰ τῶν φιλοσόφων ἐπικρίνειν συγγράμματα ὡς πρὸς τὰς διαφόρους δόξας θεωρούμενα· ὅθεν καὶ τὴν πρόθεσιν ἐξετάζει τοῦ συγγράμματος εἰ πλήρη καὶ ἀνελλειπῆ τὰ περὶ τὸ ἀντικείμενον θεωρούμενα, εἰ παρὰ τοῦ συγγραφέως προσετέθη τι, ὅπερ παρ' οὐδενὸς πρότερον ἐθεωρήθη, ἢ τὰ βέβαια καὶ σαφῆ ὡς ἀρχαί τινὲς παραλαμβάνονται κτλ.

## § ΤΙΕ'.

Τῆς δὲ πραγματικῆς κριτικῆς εἴδη ἀναφέρονται πέντε· ἑρμηνευτικὴ δηλ. ἱστορική, πολιτική, πρακτικὴ καὶ φυσική.

## § ΤΙϚ'.

Καὶ ἡ μὲν ἑρμηνευτική, τὰ τῶν ἄλλων συγγράμματα καὶ μάλιστα τὰ τῶν ἀρχαίων ἑρμηνεύειν ἐπιβάλλεται· τὸν ἐγκρυπτόμενον ἐν αὐτοῖς ἀληθῆ καὶ πιστὸν νοῦν διερευνῶσα· ἵνα δὲ ὁ ἑρμηνεύων τοῦ σκοποῦ ἐπιτύχῃ, ἀνάγκη πρῶτον καλῶς γινώσκειν καὶ τὴν γλῶσσαν, καθ' ἣν συνεγράφη τὸ σύγγραμμα, καὶ τὴν γλῶσσαν εἰς ἣν ἑρμηνεύεται· δεύτερον πάντα τὰ περὶ τὸν συγγραφέα καλῶς εἰδέναι· τρίτον· τὰ ὑπὸ τοῦ συγγραφέως ἄλλων συγγραφέων ἀναφερόμενα τεμάχια ἐξακριβοῦν· τέταρτον· τὰ τοῦ συγγραφέως τοῖς ὑπὸ ἄλλων περὶ τῆς αὐτῆς ὕλης γεγραμμένοις παρατιθέναι· πέμπτον καλῶς γινώσκειν οὐ μόνον τὰ ὑπὸ τοῦ συγγραφέως πραγματευόμενα, ἀλλὰ καὶ πάντα τὰ εἰς αὐτὰ ἀναφερόμενα. Ἐὰν δὲ καὶ χωρίον τι διορθοῦν ἀναγκασθῇ, ἢ ὡς ψευδές τι ἐξελέγχειν μετὰ τῆς δεούσης προσοχῆς καὶ κοσμιότητος ταῦτα ποιεῖν, τὸ μὲν ψεῦδος ἀποδεικνύοντα, τοῦ δὲ συγγραφέως μηδόλως καθαπτόμενον· βοηθήματα δὲ τῆς ἑρμηνευτικῆς κρίσεως ἔστωσαν αὐτῷ πλήρη λεξικά, καὶ παντὸς εἴδους συγγράμματα εἰς τὸ προκείμενον ἀναφερόμενα.



## §. ΤΙΖ.'

Ἐπειδὴ δὲ καὶ πολλὰ τῶν ἀρχαίων συγγράμματα νοθευθέντα φαίνονται, ἵνα μὴ ματαιοπονῇ τις τὰ τῶν ἄλλων ἑρμηνεύων, ἀνάγκη, ἐστιν, εἰδέναι καὶ τὰς αἰτίας, δι' ἃς σύγγραμμά τι νοθεύεσθαι δύναται καὶ τὰ μέσα, δι' ὧν τὸ γνήσιον τοῦ νόθου διακρίνεσθαι ἔχει.

## § ΤΙΗ'.

Αἰτίαι λοιπὸν κυριώτεραι τῆς τῶν συγγραμμάτων νοθεύσεως εἰσίν, αἵτε προλήψεις, καὶ τὰ πάθη, καὶ αἱ τῶν ἀντιγράφων παραφθοραὶ διὰ τὸ δυσανάγνωστον, ἢ ἀμάθεια καὶ ἀμέλεια τῶν ἀντιγραφέων, καὶ αἱ παρὰ τῷ κειμένῳ σημειώσεις, ὡς μέρος κειμένου καὶ αὐταὶ ὑπὸ ἀντιγραφέων ἐκλαμβανόμεναι

## § ΤΙΘ'

Μέσα δὲ δι' ὧν τὸ γνήσιον τοῦ νόθου διακρίνεται σύγγραμμα; εἰσὶ τὸ ἀναφέρεσθαι ὑπὸ τῶν συγχρόνων ἢ μικρὸν μεταγενεστέρων, τὸ συμφωνεῖν κατὰ τὸ ὕφος τὸ ἐξεταζόμενον σύγγραμμα ἄλλοις συγγράμμασι ὁμολογουμένως εἰς τὸν αὐτὸν ἀποδιδομένοις συγγραφέα, τὸ μὴ περιέχειν τι ἀντιφάσκον τοῖς χρόνοις, καὶ τοῖς τῶν τόπων ἐθίμοις, καὶ τοῖς βεβαίως περὶ αὐτὸν ἱστορουμένοις, μηδὲ τοῖς ὑπὸ τοῦ αὐτοῦ συγγραφέως ἐν ἄλλοις συγγράμμασι λεγομένοις, εἰ μὴ ὁ αὐτὸς συγγραφεὺς ὡς μεταβαλὼν δόξαν ἱστόρηται· τὸ μὴ περιέχειν τι ὑπὸ τῶν τοῦ συγγραφέως μεταγενεστέρων ἐπινοηθὲν ἢ πραχθέν· ἀνάγκη δὲ τῶν περὶ γνησιότητος, ἢ ὅλου συγγράμματος, ἢ μέρους, ἢ περικοπῶν κρίνοντα πολλὰ συγκρίνοντα ἀντίγραφα τὰ ἀρχαιότερα προτιμῶν, τὰ περὶ τὸν συγγραφέα ἅπαντα καλῶς, εἰδέναι, καὶ περὶ τοῦ ἀξιοπίστων τῶν ἀντιγράφων βέβαιον εἶναι.

## § ΤΚ'.

Ἱστορικὴ δὲ κριτική ἐστιν, ἡ τὰ διὰ στόματος, ἢ διὰ συγγραφῆς διηγούμενα, ἢ ἱστορούμενα ἐξετάζουσα· μέσα δέ, δι' ὧν τὸ ἱστορούμενον κρίνειν τις δύναται, εἰσὶ τὰ ἑξῆς· τὸ μὴ ἀντιφάσκειν τὸ διηγούμενον ἢ ἱστορούμενον· τὸ μόνον τὰ διηγούμενα δέχεσθαι, οὐχὶ

δὲ καὶ τὰ ὑπὸ τῶν διηγουμένων, ἢ ἱστορούντων αὐτὰ συμπεράσματα, ὡς διηγούμενα ἄλλοις τισὶ περὶ τοῦ αὐτοῦ πράγματος ὑπὸ ἀξιοπίστων ἀνδρῶν λεγομένης τὸ εἶναι τὸν διηγούμενον, ἢ ἱστοροῦντα τίμιον φιλαλήθη, εἰλικρινῆ, ἐλεύθερον προλήψεων καὶ πάθους, καὶ κρίνειν δυνάμενον τὸ ὑπ' αὐτοῦ λεγόμενον· τὸ μὴ βεβιασμένως ἢ ἀναγκασθέντα τὸν λέγοντα, ἢ ἱστοροῦντα διηγεῖσθαι τὸ λεγόμενον· ἐὰν δὲ πολλοὶ καὶ σύμφωνοι εἰσὶν οἱ ἀξιοπίστως λέγοντες ἢ ἱστοροῦντες τὸ ἐρευνώμενον, τότε ἀξιοπιστότερον αὐτὸ κρίνεται.

### § ΤΚΑ'.

Διὰ τῆς πολιτικῆς δὲ κριτικῆς, ἐκ τῶν ἐν τῷ ἀνθρώπῳ παρατηρουμένων τὸ ἦθος καὶ ἡ κλίσις αὐτοῦ ἐρευνώμενα διαγινώσκονται.

### § ΤΚΒ'.

Τῆς πρακτικῆς πάλιν κριτικῆς ἔργον ἐστί, τὸ ἀπὸ φαινομένων ἢ διδομένων τινῶν,τὰς ἐν τῇ φύσει μελλούσας συμβαίνειν προγινώσκειν μεταβολάς, ἢ καὶ τὰς τῶν ἀνθρωπίνων πράξεων ἐκβάσεις.

### § ΤΚΓ'.

Ἡ φυσικὴ τέλος κριτική, τὰ ἐν τῇ φύσει συμβαίνοντα, καὶ τὸν τρόπον τῆς ἑκάστου τούτων ὑπάρξεως, καὶ τὰ αἴτια ταύτης διερευνᾷ.

### § ΤΚΔ'.

Παρατήρησις δὲ ἀκριβής, καὶ πειράματα μετὰ προσοχῆς γινόμενα, καὶ τὰ τῆς φύσεως ἀπομιμούμενα φαινόμενα, καὶ λόγος ἐπὶ τούτων ἐπιστατῶν ὁδηγοῦσι πρὸς τὴν τῆς ἀληθοῦς, ἢ τῆς προσεγγιζούσης τῇ ἀληθεῖ αἰτίας εὕρεσιν.

## **Περὶ μεθόδου.**

### § ΤΚΕ'.

Μέθοδος ἐν γένει ἐστίν, ὁ κατὰ λόγον καὶ κατὰ κανόνα τρόπος τοῦ ποιεῖν τι· ἐπὶ δὲ τοῦ παρόντος, μέθοδος λέγεται, ἡ κατὰ λόγον διαφόρων εἰς ἕν τι ἀποβλεπουσῶν διανοιῶν πρόοδος, καὶ ἡ κατὰ λόγον ἕνωσις αὐτῶν πρὸς ἀκριβῆ ἑνός τινος ὅλου συμπλήρωσιν.

### § ΤΚϚ'.

Διαιρεῖται δὲ ἡ τοιαύτη μέθοδος, εἰς ἁπλῆν καὶ εἰς σύνθετον



καὶ ἡ μὲν πρώτη ἕν τι μέρος γνώσεων θεωρεῖ· οἷον ὁρισμούς, διαιρέσεις κτλ. ἡ δὲ σύνθετος περὶ ἕν τι ὅλον περιστρέφεται, τὸν τρόπον τῆς κατὰ λόγον προόδου τῶν συμπληρούντων αὐτῷ μερῶν καὶ τῆς κατὰ λόγον ἑνώσεως αὐτῶν διερευνῶσα· ταύτης δὲ εἴδη ἀριθμοῦνται τρία· ἡ κατὰ μελέτην δηλ. ἡ κατ' ἔκθεσιν, καὶ ἡ κατ' ἀντίθεσιν, ὧν τινες τὴν μὲν πρώτην, μέθοδον εὑρέσεως ἐκάλεσαν· τὴν δὲ δευτέραν, μέθοδον διδασκαλίας, καὶ τὴν τρίτην, προσδιαλέξεως, περὶ ὧν διαληψόμεθα, ἀπὸ τῶν περὶ ἃ ἡ ἁπλῆ ἐνασχολεῖται μέθοδος ἀρχόμενοι.

### §. ΤΚΖ'.

Γίνεται λοιπὸν εὐμεθόδως καὶ κατὰ λόγον ὁ γνωριστικός, ἢ χαρακτηριστικὸς ὁρισμός, πάντων τῶν μερικωτέρων τοῦ ὁριζομένου γνωρισμάτων παραλειπομένων, τῶν δὲ γενικωτέρων μόνον λαμβανομένων· οἷον· κύκλος ἐστὶν σχῆμα ἐπίπεδον ἀπὸ καμπύλης περιεχόμενον, ἧς τινος τὰ σημεῖα πάντα ἐξίσου ἀπό τινος μεσωτάτου ἀπέχουσι σημείου.

### §. ΤΚΗ'.

Ὡσαύτως εὐμέθοδος καὶ κατὰ λόγο, ὁ γενετικὸς γίνεται ὁρισμός, τῶν οὐσιωδῶν μόνον γνωρισμάτων παραλαμβανομένων· οἷον κύκλος γίνεται εὐθείας περὶ ἓν τῶν περάτων αὐτῆς περιστραφείσης καὶ εἰς τὸ αὐτὸ πάλιν σημεῖον ἐπιστραφείσης.

### §. ΤΚΘ'.

Εἴς τινα δὲ ὁριζόμενα καὶ οἱ δύο συνέρχονται ὁρισμοί, τὴν φύσιν τοῦ ὁριστοῦ καὶ τὸν τρόπον τῆς γενέσεως αὐτοῦ σημαίνοντες· οἷον Γωνία ἐστὶν ἡ ὑπὸ δύο εὐθειῶν· εἰς ἓν σημεῖον συνελθουσῶν σχηματιζομένη.

### § ΤΛ'.

Οἱ δὲ ὑπογραφικοὶ ὁρισμοὶ εὔχρηστοι, μάλιστα εἰς ὑπογραφὴν ὁριστοῦ, οὗτινος ἡ φύσις ἀγνοουμένη ἐστί. Γνωρίσματα δέ τινα ἐπουσιώδη γινωσκόμενα καταριθμοῦνται.

### § ΤΛΑ'.

Ἡ διαίρεσις ἐκ τοῦ ἐναντίου εὐμέθοδος καὶ κανονικὴ γίνεται ὅτε τὸ καθολικῶς νοούμενον διαιρετόν, ἐπὶ τῶν μερικῶν ἐφαρμόζεται, συναπτομένων τῶν κατὰ συμβεβηκὸς νοουμένων αὐτῷ, καὶ οὕτω διὰ τὴν διαφορὰν τούτων, καὶ τὰ διάφορα τοῦ διαιρουμένου προκύπτουσιν εἴδη.

## § ΤΛΒ'.

Ἐπί τινων δὲ διαιρετῶν καὶ ἀπ' αὐτῶν τῶν ἐν τῷ ὁρισμῷ παραλαμβανομένων ἡ διαίρεσις προκύπτει· οἷον ἐκ τοῦ ὁρισμοῦ τοῦ τριγώνου, ὅτι σχῆμά ἐστιν ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον καὶ τρεῖς περιέχον γωνίας, προκύπτει ἡ διαίρεσι; αὐτοῦ ὡς πρὸς τὰς πλευρὰς ἀναφερομένη· ὅτι τὰ τρίγωνα εἰσὶν ἰσόπλευρα, ἰσοσκελῆ, σκαληνά· καὶ ἡ ὡς πρὸς τὰς γωνίας γινομένη, ὅτι τὰ τρίγωνα εἰσὶν ὀρθογώνια, ἀμβλυγώνια καὶ ὀξυγώνια.

## § ΤΛΓ'.

Ἐὰν δὲ ζητηθῇ, ἵνα πρότασίς τις εὐμεθόδως καθολικευθῇ, ἢ τὸ ἀνάπαλιν μερικευθῇ· δῆλον, ὅτι τὸ μὲν πρῶτον, ἢ δι' ἐπαγωγῆς γίνεται· οἷον Σωκράτης, Πλάτων κτλ. ζῶον ἐστὶ λογικὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἄρα πᾶς ἄνθρωπος ζῶόν ἐστι λογικὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἢ τοῦ λόγου ζητηθέντος, δι' ὃν τὸ κατηγορούμενον τῷ μερικῷ συνάπτεται ὑποκειμένῳ· διότι τότε τὸ ὑποκείμενον τῷ λόγῳ σκεφθὲν καθόλου ἔσεται· οἷον φιλόσοφός τις μεμπτέος ἐστί, διατί ; διότι οὐ συμφώνως τῷ ἐπαγγέλματι βιοτεύει, ἄρα πᾶς φιλόσοφος μὴ συμφώνως τῷ ἐπαγγέλματι βιοτεύων μεμπτέος ἐστίν· ἐκ τοῦ ἐναντίου δὲ ὁ τὴν πρότασιν μερικεύειν βουλόμενος, τὸν λόγον ἀπὸ τοῦ ὑποκειμένου ἀπάγων αὐτὴν μερικεύσει.

## § ΤΛΔ'.

Τὰ ἀξιώματα ἀποφάνσεις ὄντα, ἢ ἐκ ταὐτισμοῦ, ἢ ἐκ τῆς ἐπαλληλίας τῶν ὅρων τὸ βέβαιον καὶ ἐναργὲς ἔχοντα, γίνονται καὶ ἐκ τῶν ὁρισμῶν, καὶ ἐκ τῆς διαιρέσεως, ὡς καὶ ἐκ τῆς τῶν προτάσεων καθολικεύσεως.

## § ΤΛΕ'·

Ὡς τὰ ἀξιώματα οὕτω καὶ τὰ αἰτήματα ἀπὸ τῶν ὁρισμῶν γίνεσθαι δυνατόν· ἀλλ' ἐκεῖνα μὲν ὡς θεωρητικαὶ ἀρχαὶ οὖσαι ἐκ τῶν γνωριστικῶν, ταῦτα δὲ ὡς εἰς πρᾶξιν ἀφορῶντα, ἐκ τῶν γενετικῶν.

## § ΤΛϚ'.

Τὰ δὲ θεωρήματα, ἅπερ ἀποφάνσεις εἰσὶ δείξεως ἐπιδεκτικαί, καὶ τὰ προβλήματα, ἅπερ προτάσεις ὑπάρχουσιν ἀποδείξεως χρῄζουσαι, κατὰ τοῦτο μόνον τῶν θεωρηματικῶν διαφαίρουσαι· καθότι ἐκεῖναι θεωρητέαι μόνον εἰσίν, αὗται δὲ καὶ κατασκευαστέαι· διεκπεραίνεσθαι δυνατὸν δι' ἀρχῶν τινων κατὰ πρόοδον τὴν ἀπὸ τῶν προτέρων ἐπὶ τὰ δεύτερα, καὶ ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ συνθετότερα χωροῦσαν· τοιαῦται δὲ ἀρχαὶ εἰσὶν αἱ αἰσθητικαὶ ἀντιλήψεις, ἢ παρατηρήσεις· αἱ πεῖραι, οἱ ὁρισμοί, αἱ διαιρέσεις, τὰ ἀξιώματα, τὰ αἰτήματα κτλ. δι' ὧν γίνεται, ἥ τε ἀπόδειξις τῶν θεωρητέων, καὶ ἡ κατασκευὴ τῶν κατασκευαστέων.



## § ΤΛΖ'.

Εἰσὶ δὲ ἀποδείξεων εἴδη δύο, ἥ τε ἀναλυτική, καὶ ἡ συνθετική· καὶ ἀναλυτικὴ μὲν καὶ κατὰ ἄνοδον, καὶ εὑρετικὴ λέγεται ὅτε ἐκ τῶν μερικωτέρων τὰ καθολικώτερα ἀποδεικνύουσα· συνθετικὴ δὲ καὶ κατὰ πρόοδον, ὅτε διὰ τῶν καθολικωτέρων τὰ μερικώτερα.

## § ΤΛΗ.'

Καὶ ταῦτα μὲν περὶ τῆς ἁπλῆς μεθόδου, τῆς δὲ συνθέτου ἢ κατὰ εὕρεσιν, ἢ τὰ περὶ τὴν ἰδιαιτέραν μελέτην θεωρεῖ, ἢ τὰ περὶ τὴν τῶν ἄλλων ἀκρόασιν ἐξετάζει· ἡ δὲ κατὰ διδασκαλίαν, ἢ τὸ ἀπὸ στόματος διδάσκειν, ἢ τῷ γραφῇ παραδιδόναι τὰ σπουδασθέντα πολυπραγμονεῖ· ἡ δὲ κατὰ προσδιάλεξιν πῶς ἄλλοις κατ' ἀντίθεσιν προσδιαλέγεσθαι χρὴ διερευνᾷ.

## § ΤΛΘ'.

Ἵνα λοιπὸν τὰ περὶ τὴν μελέτην. ὡς δέον ἐκτελεῖται, ἀνάγκη πρῶτον τὸν βουλόμενον ἐπωφελῶς τὰ τῶν ἄλλων μελετᾷν ὑπὸ τῆς τοῦ εἰδέναι ἐφέσεως ἀληθῶς εἰς τοῦτο ἄγεσθαι.

## § ΤΜ'.

Δεύτερον· ἐλεύθερον ὡς δυνατὸν τῶν ἔξωθεν εἶναι φροντίδων αἰσθήσεις τε τῷ νῷ πειθαρχούσας ἔχειν, καὶ ψυχὴν ἑαυτῇ συνεῖναι δυναμένην ἡσυχίας μὲν φροντίζειν· ἐθίζεσθαι δὲ καὶ ἐν μέσῳ τῶν θορύβων ἀτάραχον διαμένειν.

## § ΤΜΑ'.

Τρίτον· χρόνου τοῦ προσήκοντος μελέτῃ ἐκλογὴν ποιεῖσθαι οὗτος δὲ ὁ τῆς νυκτὸς φαίνεται μάλιστα, ὡς καὶ ταύτης ὁ περὶ τὸν ὄρθρον.

## § ΤΜΒ'.

Τέταρτον· σκοπόν τινα προκείμενον ἔχειν, καὶ πρὸς ἕν τι εἶδος θεωρητικῶν, ἢ π ακτικῶν γνώσεων ἀφορᾷν μηδέν τι τῶν προεγνω-

σθαι δεόντων ὑπερβαίνειν. τῶν τε πρὸς τὸ τέλος φερόντων μέσων βιβλίων δηλ. κτλ. ἀνενδεῶς ἔχειν.

## § ΤΜΓ΄.

Πέμπτον· μὴ ἀδιασκέπτως τὰ προκείμενα παρατρέχειν τὰ αὐτὰ δὲ καὶ δεύτερον καὶ τρίτον ἐπαναγινώσκειν τὰ ἀπαντῶντα τῶν ἀπορρημάτων ἐπιλύοντα, καὶ τὰ λόγου ἄξια σημειοῦντα, ἐν ἐπιτομῇ δὲ τὰ ἀναγνωσθέντα ἀνακεφαλαιοῦντα καθ' ἑαυτὸν καλῶς αὐτὰς διασκέπτεσθαι τοῦ νοῦ, αὐτῶν ὡς δυνατὸν ἀντεχόμενον.

## § ΤΜΔ΄.

Τὸν δὲ παρ' ἑαυτοῦ καὶ δι' ἰδιαιτέρας μελέτης τὴν ἀλήθειαν εὑρίσκειν βουλόμενον, ἀνάγκη πρῶτον τὴν τοῦ ζητουμένου κατάστασιν πανταχόθεν πολυπραγμονεῖν, καὶ τὸ εἶδος αὐτοῦ διακρίνειν· καθότι τετραχῶς εἰώθασι ζητεῖσθαι τὰ ζητούμενα, εἰ ἐστί, τί ἐστίν, ὁποῖον τί ἐστί, καὶ διατί ἐστίν· ὧν τό μὲν πρῶτον ὑπάρξεως λέγεται ζήτημα· τὸ δὲ δεύτερον οὐσίας· οὐχὶ δὲ τῆς οἷον ὑποκειμένης καὶ πρώτης, ἀλλὰ τινῶν τῶν οὐσιωδῶν τοῦ ζητουμένου ἰδιωμάτων καὶ γνωρισμάτων· τὸ τρίτον ποιότητος καὶ τὸ τέταρτον αἰτίας· κατ' ἄλλους δέ, ἢ ἐκ τῶν ἀποτελεσμάτων ζητεῖται τὰ αἴτια καὶ τ' ἀνάπαλιν ἢ ἐκ τοῦ μέρους τὸ ὅλον, καὶ τὸ μέρος ἐκ τοῦ ὅλου.

## § ΤΜΕ΄.

Δεύτερον· τὰ σύνθετα τῶν ζητημάτων, εἰς τὰ ἁπλᾶ ἀναλύειν καὶ τούτων τὰ πρότερα προθεωρεῖν, καὶ ὧν ἡ λύσις πρὸς τὴν τῶν λοιπῶν φέρει εὐχερεστέραν γνῶσιν προσερευνᾶν.

## § ΤΜϚ΄.

Τρίτον· τὰ κυριώτερα τοῦ ζητήματος σημειοῦν· τούτων δὲ προδιατιθέντων διὰ παρατηρήσεως, πείρας, κρίσεων, συλλογισμῶν κτλ. εἰς τὴν λύσιν τοῦ ζητουμένου καὶ εὕρεσιν τῆς ἀληθείας προβαίνειν ἀπὸ τῶν σειρῶν, καὶ ὁμολογουμένων ἐπὶ τὰ ἧττον σαφῆ καὶ βέβαια προχωροῦντα. Ἐὰν δὲ τούτων ἁπάντων, ὡς δέον γενομένων, ἡ ἀλήθεια κεκρυμμένη, ἔτι διαμένῃ, ὁμολογητέον τὸ θεωρούμενον ἀνεπίλυτον, ἢ τοὐλάχιστον τῷ θεωροῦντι ἀνεπίλυτον εἶναι.

## § ΤΜΖ΄.

Ὅστις δὲ καὶ ἐκ τῆς τῶν ἄλλων ἀκροάσεως ὠφελεῖσθαι βούλεται, ἀνάγκη ἐστίν, ἵνα ἐλεύθερος παντὸς πάθους ἐπ' αὐτὴν ἥκει· φιλίας δηλ. μίσους, προ ήψεως, οἰήσεως, δοξοσοφίας, φιλοσόφου τῷ ὄντι ψυχῆς προπαρασκευὴν καὶ διάθεσιν τὴν προσήκουσαν ἔχων.



## § ΤΜΗ΄.

Δεύτερον· δεῖ αὐτὸν προθεωρεῖν, καὶ προμελετᾶν τὸ ἀκροασθησόμενον, καὶ τὰ δυσληπτότερα μέρη αὐτοῦ σημειοῦν.

## § ΤΜΘ΄.

Τρίτον· συντόνῳ τε καὶ ἀπερισπάστῳ κατ' αὐτὴν τὴν ἀκρόασιν χρῆσθαι προσοχῇ, τὰ περιεργότερα τῶν λεγομένων προσεπισημειοῦντα· τοῦτο δὲ ταχέως δεῖ ποιεῖν· ἵνα μήτε τῶν λεχθησομένων διαφύγῃ

## § ΤΝ΄.

Τέταρτον· τὰ ἀκροασθέντα ἐπιμελετᾶν περιλήψεις τῶν λεχθέντων· ἢ τοὐλάχιστον τῶν κυριωτέρων αὐτῶν μερῶν ποιοῦντα.

## § ΤΝΑ

Πέμπτον τελευταῖον· καὶ μετ' ἄλλων περὶ τῶν αὐτῶν συνδιαλέγεσθαι, καὶ συμμελετᾶν, εἰρηναῖον καὶ ἀτάραχον καὶ ἀφιλόνεικον ὄντα καὶ πρὸς ἕνα μόνον σκοπὸν ἀποβλέποντα· τὴν γνῶσιν τῆς ἀληθείας καὶ τὴν πρᾶξιν τοῦ ἀγαθοῦ.

## § ΤΝΒ΄.

Τῷ δὲ βουλομένῳ ἄλλους διδάσκειν, ἀνάγκη πρῶτον καλῶς εἰδέναι τὸ ὑπ' αὐτοῦ διδαχθησόμενον, καὶ ὡς οἷον εὐλήπτως καὶ καθαρῶς αὐτὸ ἑρμηνεύειν· τοῦτο δὲ ποιῆσαι ἀκριβέσιν ὁρισμοῖς καὶ διαιρέσεσι· πρὸς δὲ καὶ ἑρμηνείᾳ τῷ προκειμένῳ κατ' ἀλλήλων χρώμενος, τάς τε ἀρχὰς προερμηνεύων, καὶ ἀπὸ τῶν προτέρων εἰς τὰ ἀμέσως ἑπόμενα μεταβαίνων.

## § ΤΝΓ΄.

Δεύτερον· τοῖς κυριωτέροις μάλιστα καὶ δυσχερεστέροις τοῦ προκειμένου μέρεσι τὸν νοῦν ἐφιστάναι, τά τε νεωστὶ περὶ αὐτοῦ ἀνακαλυφθέντα διερευνᾶν· καὶ ταῦτα τοῖς ἀκροαταῖς διερμηνεύειν.

## § ΤΝΔ΄.

Τρίτον· τῷ λόγῳ μόνῳ καὶ πᾶσι τοῖς τούτῳ συμφωνοῦσιν ὁδηγοῖς χρῆσθαι, παντὸς ἄλλου τὴν ἀλήθειαν προτιμῶντα.

§ ΤΝΕ΄.

Ὁ δὲ συγγράφειν ἐπιχειρῶν, ὡσαύτως ὁρίσεται πρῶτον τὸ τῆς ὑποθέσεως ἢ πραγματείας ἀντικείμενον· εἶτα εἰς τὰ ἴδια αὐτῶν μέρη διελὼν ἕκαστον αὐτῶν, κατὰ μέρος θεωρήσει· προκαταβάλλων μὲν τὰ ἀρχάς, ἀπό τε τῶν φύσει πρώτων, εἰς τὰ δεύτερα προχωρῶν, καὶ εὐλήπτως καὶ καθαρῶς ὡς δυνατὸν αὐτὰ διερμηνεύων.

§ ΤΝϚ΄.

Καὶ τὸν προσδιαλέγεσθαι δὲ ἄλλοις βουλόμενον, ἀνάγκη πρὸ παντὸς ἄλλου, καλῶς γινώσκοντα τὴν περὶ ἧς ὁ λόγος ὑπόθεσιν, προσδυνάμενον αὐτὸν ἐννοεῖν ποιεῖσθαι τὴν προσδιάλεξιν.

§ ΤΝΖ΄.

Δεύτερον· ἀκριβῶς ὁρίζειν τὸ τῆς διαλέξεως ἀντικείμενον, καὶ μὴ ἀπὸ ὑποθέσεως εἰς ἄλλην μεταβαίνειν ὑπόθεσιν, εἰρηναίως τε καὶ ἀταράχως τὴν προσδιάλεξιν ποιεῖσθαι πρῶτον καὶ μόνον ἔχοντα σκοπὸν τὴν τῆς ἀληθείας καὶ γνῶσιν καὶ ὑποστήριξιν.

§ ΤΝΗ΄.

Ὡσαύτως δὲ καὶ ὁ ἐναντίος εἰλικρινῶς καὶ ἀδόλως τὴν ἀλήθειαν ζητῶν, μετὰ λόγου ἀταράχως, καὶ εἰρηναίως ἀπαντήσει· ἀμφοτέροις τε προσήκει μὴ προσεπίδειξιν ἀντιλέγουσιν, ἀλλ' ὑπὲρ τῆς ἀληθείας ἀγωνιζομένοις φέρειν κατὰ νοῦν, ὅτι ἀληθεύειν ἐν ἀγάπῃ χρέος ἐπίκειται πάντοτε καὶ πανταχοῦ πᾶσιν ἀνθρώποις τοῖς μὴ ψευδομένοις τὸ μέγα τοῦτο καὶ πρᾶγμα καὶ ὄνομα.

§ ΤΝΘ΄.

Καὶ ταῦτα μὲν περὶ ἐννοιῶν, καὶ κρίσεων καὶ διανοιῶν, καὶ τῆς τούτων συναρμογῆς, εἴτε μεθόδου πρὸς ἑνός τινος ὅλου συμπλήρωσιν· δῆλον δὲ ἐκ τούτων ἁπάντων, ὅτι ἡ ἐπιστήμη αὕτη τὸ εἶδος μόνον ὁποιασδήποτε θεωρεῖ γνώσεως· πᾶσα δὲ μερικωτέρα πραγματεία τὰς ἰδιαιτέρας ἀρχὰς ἀπὸ τῆς τοῦ πραγματευομένου φύσεως παραλαβοῦσα, καὶ κατὰ λόγον προβαίνουσα, ἀνελλειπῆ τῷόντι καὶ ἁρμόζουσαν αὐτῷ συμπληρώσει θεωρίαν.

# ΦΙΛΟΣΟΦΙΑΣ

## ΜΕΤΑΦΥΣΙΚΗ

### ΚΑΦΑΛΑΙΟΝ Δ΄.

§. ΤΞ.΄

Ἡ Ἐπιστήμη, ἥτις τὰ περὶ ἃ τὸ διανοεῖσθαι περιστρέφεται, ἐν γένει θεωρεῖ, ὁποῖα τινὰ διαγινώσκονται, καὶ ἑπομένως ὁποῖα τινὰ ἐν γένει ὡς πρὸς τὸ διαγινῶσκον εἰσὶ διερευνῶσα, τὸ δεύτερον τῆς φιλοσοφίας συγκροτεῖ μέρος, καὶ ***μεταφυσικὴ*** ὀνομάζεται.

§ ΤΞΑ΄.

Ἔλαβε δέ, ὡς φαίνεται, ἡ ἐπιστήμη αὕτη τὸ ὄνομα τοῦτο, ἀφοῦ Ἀνδρόνικος καὶ Τυραννίων τὰ διασωθέντα τοῦ Ἀριστοτέλους συγγράμματα συναρμόζοντες, καὶ τάξαντες μέν, τὰ περὶ τὴν Ῥητορικήν, Ποιητικὴν κτλ. Φυσικά, μὴ ἔχοντες δὲ ποῦ τάξωσι τὰ περὶ ψυχῆς κτλ. μετὰ τὰ Φυσικὰ ταῦτα ἐκάλεσαν. Καὶ Ἀλέξανδρος δὲ ὁ ἐξ Ἀφροδισιάδος καὶ Φιλόπονος ἐκ τούτου λαβόντες τὴν ἀφορμήν, ***μεταφυσικὰ*** καὶ ***μεταφυσικὴν*** τὰς θεωρίας ταύτας ὠνόμασαν.

§ ΤΞΒ΄.

Πάντες σχεδὸν οἱ ἀρχαῖοι φιλόσοφοι, μεταφυσικῶς πως φυσιολογήσαντες φαίνονται, ἐν γένει τὰ περὶ τὸν ἄνθρωπον, καὶ κόσμον, καὶ θεὸν θεωρήσαντες· ὡς τὰ σωζόμενα αὐτῶν συγγράμματα καὶ τὰ περὶ αὐτῶν ἱστορούμενα μαρτυροῦσι· μετὰ δὲ ταῦτα τῶν λοιπῶν θεωριῶν διακριθεῖσα ἡ ἐπιστήμη αὕτη, ὑπὸ διαφόροις ἐπραγματεύθη ὀνόμασιν· ὑπὸ δὲ τῶν σχολαστικῶν τοσοῦτον λεπτολόγως τὰ κατ' αὐτὴν ἐξετίθεντο, ὥστε ἄχρηστον τὴν θεωρίαν αὐτοῖς φαίνεσθαι· ὕστερον δὲ τῶν νεωτέρων τινὲς οὐκ ὀλίγας τῶν λεπτολογιῶν ἐκείνων ἐκκαθάραντες ἔδειξαν, πόσον αὐτῇ ἐστὶ τὸ ὀνήσιμον.

§ ΤΞΓ΄.

Παρὰ μὲν τοῖς Εὐρωπαίοις διάφορα φέρονται πονήματα περὶ

***μεταφυσικῆς*** διαλαμβάνοντα· παρ' ἡμῖν δέ, αἱ ὑπὸ τοῦ Εὐγενείου, Ἀθανασίου τοῦ Παρίου, Γρηγορίου Κωνσταντᾶ, Κωνσταντίνου Κούμα, Βενιαμὶν τοῦ Λεσβίου, Νεοφύτου Δούκα, Νεοφύτου Βάμβα ἐκδοθεῖσαι φιλοσοφικαὶ πραγματεῖαι, ἐν αἷς ἡ κατὰ μέρος ἢ καὶ μετὰ ἄλλων θεωριῶν μεμιγμένη ἡ μεταφυσικὴ πραγματεύεται.

## § ΤΞΔ΄.

Ἡ μεταφυσικὴ ἢ τὰ ὄντα, ᾗ ὄντα ἐν γένει θεωρεῖ, καὶ Ὀντολογία λέγεται, ἢ καὶ τὰ περὶ τὸν κόσμον ἢ τὸ πᾶν γενικώτερον διερευνᾷ, καὶ Κοσμολογία καλεῖται, ἢ τὰ περὶ ψυχῆς ἐξετάζει, καὶ Ψυχολογία ὀνομάζεται, ἢ τὰ περὶ Θεοῦ τέλος ὡς ἀντικείμενον ἰδιαιτέρας ποιεῖται θεωρίας, καὶ Θεολογία προσαγορεύεται, περὶ ὧν κατὰ μέρος λέξομεν ἀπὸ τῆς Ὀντολογίας ἀρχόμενοι.

## § ΤΞΕ΄.

Ὅτι μὲν ὑπάρχομεν ἡμεῖς, ὑπάρχουσι δὲ καὶ ἕτερα τινὰ παρ' ἡμᾶς, καὶ ὅτι διὰ τῆς ἀντιληπτικῆς ἡμῶν δυνάμεως αὐτῶν ἀντιλαμβανόμεθα, ἢ γινώσκει αὐτὰ διὰ τῶν γνωστικῶν αὐτοῦ δυνάμεων τὸ ἐν ἡμῖν γινῶσκον, διαφόρως ὑπ' αὐτῶν διατιθέμενον ἕκαστος ἡμῶν σύνοιδε μηδεμίαν περὶ τούτου ἔχων ἀμφιβολίαν.

## § ΤΞΣΤ΄.

Ποῖα δὲ τὰ μέσα, δι' ὧν τὸ γινῶσκον, τοῖς γινωσκομένοις κοινωνεῖ, καὶ ποῖαι τινὲς αὐτοῦ εἰσὶν αἱ δυνάμεις, πῶς δὲ καὶ ἐννοεῖ, καὶ κρίνει καὶ διανοεῖται, ἐν ἄλλοις διελάβομεν· ἐνταῦθα δὲ περὶ τοῦ τρόπου καθ' ὃν ταῦτα διαγινώσκει, ἢ πῶς, ἢ ὁποῖα τινὰ ταῦτα διαγινώσκει, διαληφθήσεται· ὅθεν ἡ ὀντολογία καὶ θεωρία ἐν γένει τῆς τῶν γνωστικῶν τοῦ ἀνθρώπου δυνάμεων ἐνεργείας κληθῆναι δύναται.

## § ΤΞΖ΄.

Ἐκ τούτου δῆλον γίνεται, ὅτι τὰς τῶν γνωστικῶν ἡμῶν δυνάμεων ἐνεργείας παρατηροῦντες, ὅσα ἐν τῇ ὀντολογίᾳ ἀνήκειν θεωρεῖν εὑρίσκομεν· εἰς τὰς τοιαύτας λοιπὸν ἐνεργείας τὸν νοῦν ἐπιστήσαντες μανθάνομεν, ὅτι διὰ μὲν τοῦ αἰσθητικοῦ καὶ φανταστικοῦ τὸ ἐν τόπῳ καὶ χρόνῳ εἶναι τῶν ὄντων διαγινώσκει τὸ ἐν ἡμῖν διαγινῶσκον, εἴτε τὴν ἔννοιαν τοῦ τόπου καὶ τοῦ χρόνου λαμβάνει· διὰ δὲ τοῦ νοητικοῦ τοῦ ὄντος ἐν γένει τῆς οὐσίας, τοῦ ἀναγκαίου, τοῦ ἐνδεχομένου κτλ. διὰ δὲ τοῦ λογικοῦ τὸν λόγον τῶν διαφόρων ζητεῖ ὄντων, περὶ ὧν καὶ τῶν ἐπ' αὐτοῖς θεωρουμένων ἐν γένει μετὰ τῆς δεούσης συντομίας διαληφθήσεται.



## § ΤΞΗ΄.

Τί μὲν ἐστὶ τόπος καὶ χρόνος, ἐν ἄλλοις εἴρηται· ὂν δὲ λέγεται πᾶν τὸ ὑπάρχον, εἴτε οὐσία τοῦτο ἐστίν, εἴτε τι τῶν περὶ τὴν οὐσίαν· ὂν δὲ κυρίως ἐστί, τὸ μόνον κυρίως καὶ ἀληθῶς ὄν, ὁ τῶν ὅλων δημιουργός· ἡ δὲ τοῦ πράγματος, ἢ τινος φωνὴ γενικωτέρα ἐστὶ τῆς τοῦ ὄντος· διότι δι' αὐτῆς νοεῖται καὶ τὸ γενόμενον, καὶ τὸ ὑπάρχον, καὶ τὸ ἐσόμενον καὶ τὸ δυνατόν.

## § ΤΞΘ΄.

Διὰ τοῦ μηδενὸς δύο τινὰ ὑποσημαίνονται· καὶ ὄν τι καὶ στέρησις αὐτοῦ, ἢ τινος τῶν ἐν αὐτῷ, ὡς καὶ διὰ πασῶν τῶν ἀρνητικῶν φωνῶν διότι καὶ αὗται ἀπουσίαν θετικοῦ τινος ὑποσημαίνουσι.

## § ΤΟ΄

Ἀντιφάσκοντα λέγονται τὰ ἅμα συνελθεῖν μὴ δυνάμενα· μὴ ἀντιφάσκοντα δέ, τὰ ἅμα εἶναι ἔχοντα· καὶ δυνατὰ τὰ μήτε ὑπάρχοντα, μήτε βεβαίως ὑπάρξοντα· μὴ ἀντιφάσκοντα δέ, καὶ διὰ τοῦτο ὑπάρχειν δυνάμενα.

## § ΤΟΑ΄.

Δυνατὸν ἐσωτερικῶς καλεῖται, οὗτινος τὰ οὐσιώδη μέρη ἅμα συνέρχεσθαι δύνανται· ἐξωτερικῶς δὲ τὸ μὴ μόνον ἐσωτερικῶς, ἀλλὰ καὶ ἐξωτερικῶς, εἴτε πραγματικῶς γινόμενον ἢ γενέσθαι δυνάμενον.

## § ΤΟΒ΄.

Οὐσία ἐστὶν ἡ ἀδιαίρετος ἕνωσις τῶν πρὸς τὸ εἶναι ἑκάστου ἀναγκαίων γνωρισμάτων· δύναμις δὲ ἡ δεξιότης πρὸς ἐνέργειαν, καὶ φύσις αἱ δυνάμεις ἢ ἡ ἐνεργητικὴ τῶν ὄντων ἀρχή· λέγεται δὲ φύσις καὶ ἡ ἐνεργοῦσα δύναμις.

## § ΤΟΓ΄.

Ἀναγκαῖον ἐστὶ τὸ ἄλλως ἔχειν μὴ δυνάμενον· λέγεται δὲ ἀναγκαῖον μὲν καθ' ὕπαρξιν τὸ μὴ ἔχον αἰτίαν τῆς ἑαυτοῦ ὑπάρξεως· τοιοῦτον ἐστὶ μόνον τὸ ὂν τὸ αἰώνιον· ἀναγκαῖον δὲ κατ' οὐσίαν, οὗ τινος ἡ οὐσία ἐστὶν ἀμετάβλητος· ἀναγκαῖον πρὸς ὕπαρξιν, οὗτινος τινος χωρὶς ἀδύνατον ὑπάρχειν τὸ ἕτερον· καὶ ἀναγκαῖον πρὸς οὐσίαν, οὗ τινος χωρὶς ἀδύνατον τὴν ἑτέρου συνίστασθαι οὐσίαν.

## § ΤΟΔ΄.

Ἐνδεχόμενον δέ ἐστι, πᾶν τὸ μὴ ἐξ ἰδίας ὑπάρχον φύσεως· ἄλλου δέ τινος ἐξωτερικῶς ἐξαρτώμενον.

## § ΤΟΕ΄.

Ἓν λέγεται τὸ ὄν, ἢ ὡς πρὸς ἑαυτό, ἢ ὡς πρὸς ἕτερον· καὶ ὡς πρὸς ἑαυτὸ μέν, ὅταν ἁπλοῦν ὑπάρχῃ, ἢ ὅταν τὰ οὐσιώδη γνωρίσματα εἰς ἓν συνερχόμενα, μίαν συναπαρτίζουσιν οὐσίαν· οἷον ἄνθρωπος, ζῶον, φυτόν· ὡς δὲ πρὸς ἕτερον, ἓν καλεῖται τὸ τῶν ἄλλων διῃρημένον καὶ χωρὶς κείμενον καὶ ἐκείνη μὲν ἡ ἑνότης μεταφυσικὴ ὀνομάζεται· αὕτη δὲ ἀριθμητικὴ λέγεται.

## § ΤΟϚ΄.

Τὸ ἓν ἢ ἁπλοῦν ἐστὶ ἢ σύνθετον· καὶ τοῦτο ἢ πραγματικῶς ἢ κατὰ συμβεβηκὸς ἢ ἠθικῶς· καὶ τὸ μὲν πρῶτον ἐστὶ τὸ μέρη ἀλλήλων διακεκριμένα μὴ ἔχον τὸ δὲ δεύτερον τὸ μερῶν ἀλλήλοις ἡνωμένων καὶ εἰς μίαν συνερχομένων οὐσίαν εὐμοιροῦν· τὸ τρίτον ὅταν πολλαὶ μονάδες ὁμοῦ ὑπάρχουσαι, μίαν συνιστῶσιν οὐσίαν· τὸ δὲ τέταρτον, ὅταν πολλοὶ δι' ἄκρας ὁμονοίας συνδεδεμένοι ὦσιν.

## § ΤΟΖ΄.

Ἡ σύνθεσις φυσική ἐστι, ἢ μεταφυσική, ἢ λογική. καὶ φυσικὴ μὲν ἐστίν, ἡ τοῦ μέρη ἔχοντος πραγματικῶς διῃρημένα καὶ χωρισθῆναι δυνάμενα· μεταφυσικὴ δὲ τῶν οὐσιωδῶν ἀλλήλων διακρινομένων· καὶ λογικὴ ἡ ἐκ γένους καὶ διαφορᾶς σύστασις.

## § ΤΟΗ΄.

Ταὐτὸν λέγεται, ἐνῷ οὐδὲν μεταβάλλει τοῦ τόπου καὶ τοῦ χρόνου μεταβαλλομένων· τριττὴ δὲ ἡ ταυτότης· μεταφυσική, φυσικὴ καὶ ἠθική· καὶ ὅταν μὲν μηδὲν τῶν τοῦ ὄντος μεταβάλληται, ἡ ταὐτότης λέγεται μεταφυσική· ὅταν δὲ τὰ συμβεβηκότα μεταβάλλωνται, τὰ δὲ οὐσιώδη μένωσιν ἀμετάβλητα, ἡ ταὐτότης φυσικὴ ὀνομάζεται· ἠθικὴ δὲ καλεῖται ὅταν ἡ αὐτὴ διασώζηται τάξις τοῦ βίου, τοῦ ἤθους ἀμεταβλήτου μένοντος.

## § ΤΟΘ΄.

Ἀρχή ἐστιν, ἀφοῦ τι πρόεισιν, ἢ ἀφοῦ ἤρτηται, ἢ ἐνῷ τινος ἑτέρου ἐστὶν ὁ λόγος, ἡ πρὸς ὅ ὡς πρότερον πέρας ὄν, τὸ ἔσχατον πέρας ἀφορᾷ τῆς ἐκβάσεως· ἔστι δὲ ἡ μὲν ἐκτὸς τοῦ ἐκβαίνοντος, ἡ δὲ ἐντός, καὶ ἐκτὸς μέν, ὡς αὐτουργὸς λεγομένη· οἷον ὁ ναυπηγὸς ὡς πρὸς τὴν ναῦν, μάλιστα δὲ ὁ Θεὸς ὡς πρὸς τὰ κτίσματα· ἡ συνεργός, καὶ αὕτη ἡ ὁμοειδὴς ὡς ὁ συμβοηθῶν, ἡ ἑτεροειδὴς ὡς ὁ ὑφάπτων τὸ τὸ πῦρ ὡς πρὸς τὸν ἐμπρησμόν, ὡς πρὸς τὴν γραμμήν, ἢ ἐν αὐτῷ ὁ χαλκὸς ἐξ οὗ ὁ Ἀνδριάς, ἢ ἐνὶ αὐτῷ ὡς οἱ γονεῖς ὡς πρὸς τὰ τέκνα. Λέγονται δὲ αἱ ἀρχαί, ἄλλαι μὲν συνθέσεως, ἄλλαι δὲ γεννήσεως, καὶ ἄλλαι γνώσεως· ἢ αἱ μὲν οὐσίας, αἱ δὲ ὑπάρξεως· αἱ δὲ τάξεως καὶ ἄλλαι ἐπιστήμης.



## § ΤΠ΄.

Αἴτιον δὲ λέγεται τὸ πρὸς παραγωγήν τινος συντεῖνον· ἀριθμοῦνται τέσσαρα· ποιητικὸν μὲν τὸ ὑφ' οὗ, ὑλικὸν δὲ τὸ ἐξ οὗ, εἰδικὸν τὸ καθ' ὅ, καὶ τελικὸν τὸ δι' ὅ, τούτοις δέ τινες συγκαταλέγουσι καὶ ὀργανικὸν τὸ δι' οὗ, καὶ παραδειγματικὸν τὸ πρὸς ὅ.

## § ΤΠΑ΄.

Λόγος ἀποχρῶν καλεῖται, δι' ὃν ἐστί τι τοιοῦτον, καὶ εἶνε τοιοῦτον ἐννοεῖται.

## § ΤΠΒ΄.

Εἱμαρμένη, ἢ εἱρμὸς ἐν γένει ἐστὶν, ἡ ἐν τῷ παντὶ θεωρουμένη ἀμετάβλητος συνάφεια τῶν αἰτίων πρὸς τὰ αὐτῶν αἰτιατά, διαφόρως δὲ ὑπὸ διαφόρων ἐλήφθη τὸ τῆς εἱμαρμένης ὄνομα. Καὶ ἡ μὲν κατὰ Δημόκριτον εἱμαρμένη, ἡ ἀναγκαία καὶ ἀναίσθητος ἐστὶ σειρὰ τῶν αἰτιατῶν αὐτῶν, ἐκ τῆς ἀνάγκης τῆς ὕλης παραγομένων, ἡ δὲ κατὰ τοὺς Στωϊκούς, σειρά τις ἔστι τῶν αἰτιατῶν αὐτῶν, ἀναγκαία καὶ ἀπαράβατος, οὐχὶ ὑπὸ τῆς ὕλης παραγομένη ἀλλὰ τῆς Θεοῦ βουλήσεως ἠρτημένη, αὐτῆς μόνης ἀναγκαίας οὔσης.

## § ΤΠΓ΄.

Ἡ κατὰ Σπινόζαν εἱμαρμένη, ἀναγκαία τις ἐστι σειρὰ τῶν ὄντων ἁπάντων, ἥτις ἀπ' αἰῶνος καὶ ἀναγκαίως προέρχεται ἐκ τῆς θείας φύσεως διά τινος οὐσιώδους προβλήματος.

## § ΤΠΔ΄.

Ἡ Πλατωνικὴ διττή ἐστιν εἱμαρμένη, Θεία δηλ. καὶ Κοσμική· καθότι κατὰ τὸν Πλάτωνα ἡ τῶν γινομένων σειρὰ μέρος μὲν ἐκ τῆς ἀπ' αἰῶνος ψυχῆς τοῦ κόσμου· μέρος δὲ ἐκ τῆς θείας φροντίδος καὶ προνοίας παράγεται.

## § ΤΠΕ'.

Ἡ κατὰ Μωαμεθανοὺς εἱμαρμένη ἡ ἀναγκαία ἐστὶ τῶν πραγμάτων σειρά, ὑφ' ἧς καὶ οἱ ἄνθρωποι ἕλκονται· ἤρτηται ὅμως αὕτη ἐκ τῆς τοῦ Θεοῦ ἐλευθερίας.

## § ΤΠϚ'.

Ὁ δὲ Λεϊβνίτιος καὶ Χριστιανικὴν εἶπεν εἱμαρμένην τὴν πρόνοιαν οὕτως ὀνομάσας· ἀλλ' ἀνοίκειον τῇ θείᾳ προνοίᾳ τὸ τῆς εἱμαρμένης ὄνομα.

## § ΤΠΖ'.

Αὐτόματον λέγεται τὸ ἄνευ προνοίας καὶ προγνώσεως καὶ τάξεως καὶ τέλους τινὸς καὶ δυνάμεως αἰτίων βεβαίων συμβαῖνον· ὅθεν καὶ ἀντίκειται τῇ εἱμαρμένῃ τὸ κυρίως αὐτόματον.

## § ΤΠΗ'.

Διαμονὴ λέγεται ἡ συνεχὴς τοῦ ὄντος ὕπαρξις· καὶ αἰωνιότης μὲν καλεῖται, ὅτε οὐδ' ἀρχὴν οὐδὲ τέλος ἔχει· ἀϊδιότης δέ, ὅτε ἀρχὴν μὲν ἔχει, τέλος δὲ οὐχί· καὶ χρόνος μερικώτερον, ὅτε καὶ ἀρχὴν καὶ τέλος ἔχει· λαμβάνεται δὲ πολλάκις καὶ ἡ ἀϊδιότης ἀντὶ τῆς αἰωνιότητος καὶ τὸ ἀνάπαλιν· ἐνίοτε δὲ ἡ ἀϊδιότης μεγίστην μέν, πεπερασμένην δὲ σημαίνει διαμονήν.

## § ΤΠΘ'.

Τέλειον καλεῖται τὸ οὕτως ἔχον, ὡς μηδὲ προσθεῖναί τι αὐτῷ δυνατὸν εἶναι, μηδὲ ἀπ' αὐτοῦ ἀφελεῖν· λέγεται δὲ φυσικὴ τελειότης, ἠθικὴ τελειότης.

## § Τ'.

Τί μὲν ἐστὶν ἀληθές, ἐν ἄλλοις εἴρηται· ἀγαθὸν δὲ ὀνομάζεται τὸ ἐφετόν, καὶ ἱκανὸν καὶ ἀληθὲς καὶ τέλειον. Λέγεται δὲ καὶ φυσικὸν ἀγαθὸν καὶ ἠθικὸν κτλ.

## § ΤϟΑ'.

Καλὸν καλεῖται τὸ διὰ τελειότητα, ἑνότητα, τάξιν, ἀναλογίαν ἢ διὰ τὴν ἁρμονίαν τῶν μερῶν αὐτοῦ πρὸς τὸ ὅλον, ἢ διὰ τὸ εἶδος αὐτοῦ εὐάρεστον διεγεῖρον αἴσθημα· ὑψηλὸν δέ, τὸ διὰ τὸ μέγεθος αὐτοῦ μεγάλην καὶ θαυμαστὴν προξενοῦν ἐντύπωσιν· κάλλος δὲ καὶ μέγεθος αἱ τοιαῦται ἰδιότητες· ὅθεν καὶ αἰσθηματικὴ ὑπό τινων ὀνομάζεται ἡ τοῦ καλοῦ καὶ ὑψηλοῦ καὶ τῶν εἰς αὐτὰ ἀναφερομένων γενικωτέρα θεωρία.



## § ΤϟΒ'.

Εὖ εἶναι, ἢ εὐοντία, ἡ εὐοντότης παντὸς ὄντος ἐστίν, ἡ ἐντελεχείᾳ τῶν δυνάμεων ἢ ἰδιοτήτων αὐτοῦ ἐνδεχομένη τελειοποίησις. Ἡ δὲ εὐδαιμονία ἐπὶ τῶν ἐπιδεκτικῶν εὐδαιμονίας ἐν τῇ ἀπολαύσει κεῖται τῆς ὡς ἐκ τῆς εὐοντίας αὐτῶν προερχομένης καταστάσεως.

## § ΤϟΓ'.

Καὶ αὗται μέν εἰσιν αἱ κυριώτεραι ἔννοιαι, ἃς τὸ γινῶσκον τὰ ὄντα ἐν γένει θεωροῦν λαμβάνει· τὰ δὲ ἐπ' αὐτῶν ἐν γένει θεωρούμενα, εἴτε αἱ κυριώτεραι κρίσεις καὶ διάνοιαι, ἃς αὐτὸ διερευνῶν διαγινώσκει εἰσὶν αἱ ἑπόμεναι.

## § ΤϟΔ'.

Πᾶν ὄν, ἢ οὐκ ἔχει αἰτίαν τῆς αὐτοῦ ὑπάρξεως, ἢ ἔχει· διότι πᾶν ὄν, οὐ παρήχθη ὑπὸ ἑτέρου, ἢ παρήχθη· τὸ πρῶτον ἐστὶν ἀναγκαῖον καθ' ὕπαρξιν· τὸ δεύτερον ἐνδεχόμενον· ὅθεν καὶ πᾶν ὄν, ἢ ἀναγκαῖον ἐστίν, ἢ ἐνδεχόμενον.

## § ΤϟΕ'.

Ὅτι δὲ τὸ μὴ ὂν οὐχ' ὑπάρχει, ἢ τὸ μὴ ὄν, οὐκ ἔστιν ὄν, ἢ τὸ μὴ ὄν, ἔστι μὴ ὄν, καὶ ὅτι τὸ ὂν οὐκ ἔστι μὴ ὄν, ἢ ἔστιν ὄν, ἐξ αὐτῶν δῆλον γίνεται· διότι θὰ θεωρήματα ταῦτα ἐκ ταὐτισμοῦ εἰσιν αὐταπόδεικτα.

## § ΤϟϚ'.

Ὅθεν μανθάνομεν, ὅτι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, καὶ συνυπάρχειν τὰ ἀντιφάσκοντα, καὶ εἶναί τι ἄνευ ἀποχρῶντος λόγου, ἀδύνατον ἐστίν· εἰ δὲ μὴ τὸ ὄν, ἔστι μὴ ὄν, καὶ τὸ ἀνάπαλιν, ὅπερ ἀδύνατον.

## § ΤϟΖ'.

Τὸ μὴ ὄν, ἢ μηδὲν οὐδενός ἐστι ποιητικόν· εἰ δὲ μή, ἔσεταί τι ἄνευ ἀποχρῶντος λόγου, ὅπερ ἀδύνατον· ὅθεν ἕπεται, ὅτι οὐδὲν αὐτοῦ ποιητικόν· διότι ἐὰν ὑποτεθῇ τοῦτο, ἔσεται τὸ μηδὲν ποιητικόν τινος, ὅπερ ἀδύνατον.

## § ΤϟΗ'.

Ἐνδεχόμενα ὄντα, ἄνευ τινὸς ἀναγκαίου ὄντος, ἀφ' οὗ ἤρτηνται,

ἀδύνατον ὑπάρχειν, ἢ ἄπειρος σειρὰ ἐνδεχομένων ὄντων, ἄνευ τινὸς ἀναγκαίου ὄντος, ἐν ᾧ ἐστὶν ὁ λόγος τῆς αὐτῶν ὑπάρξεως, ἐστὶν ἀδύνατος, καθότι ἐπειδὴ καὶ ὁ λόγος τῆς τῶν ἐνδεχομένων ὑπάρξεως, ἐν ἑτέρῳ κεῖται ὄντι, ἀρθέντος τοῦ ἀναγκαίου ὄντος, συναίρεται καὶ ἡ τῶν ἐνδεχομένων ὕπαρξις· ὅθεν καὶ ἡ κατὰ Δημόκριτον εἱμαρμένη, καὶ τὸ ἐξ αὐτομάτου, εἶναί τι, εἰσὶν ἀνύπαρκτα.

## § ΤϞΘ'.

Ἐπειδὴ καὶ τὸ ἐξ ἰδίας φύσεως ὑπάρχον, καὶ καθ' ὕπαρξιν καὶ κατ' οὐσίαν ἀναγκαῖον, οὔτε ἐξωτερικῶς, οὔτε ἐσωτερικῶς μεταβληθῆναι δύναται, δῆλον ὅτι ἐστὶν ἀεὶ ὡσαύτως διαμένον καὶ ἄτρεπτον καὶ ἀληθῶς αἰώνιον.

## § Υ'.

Τὰ ἐνδεχόμενα, ὡς ἑτέρῳ τῷ λόγῳ τῆς ἰδίας ὑπάρξεως ἔχοντα, εἰσὶ τρεπτά· καὶ τὰ τρεπτὰ ὡς μὴ καθ' ὕπαρξιν ἀναγκαῖα ὄντα, εἰσὶν ἐνδεχόμενα.

## § ΥΑ'.

Ὑπάρχουσιν ὄντα τρεπτά, καὶ ἐνδεχόμενα· καθότι καὶ ἐν ἡμῖν αὐτοῖς, καὶ ἐν τῷ παντὶ τῷδε, μυρίαι συμβαίνουσι τροπαὶ καὶ μεταβολαί· ὑπάρχει λοιπὸν καὶ ὂν ἄτρεπτον, καὶ αἰώνιον, καὶ ἀναγκαῖον καθ' ὕπαρξιν, καὶ κατ' οὐσίαν, ἐνῷ πάντων τῶν ἐνδεχομένων ἐστὶν ὁ λόγος τῆς ὑπάρξεως.

## § ΥΒ'.

Ἐπειδὴ καὶ τὸ καθ' ὕπαρξιν καὶ κατ' οὐσίαν ἀναγκαῖον καὶ αἰώνιον, καὶ ἀεὶ ὡσαύτως διαμένον, ἄτρεπτον ἐστί· δῆλον ὅτι καὶ ἁπλοῦν καὶ ἀσύνθετον, καὶ ἑπομένως ἀσώματον ἐστί· καθότι εἰ σύνθετον ὑπάρχει, ἀνάγκη καὶ τὰ μέρη αὐτοῦ προϋπάρχειν, καὶ τρεπτὸν εἶναι, καὶ τότε οὐκ ἦν, οὐδὲ καθ' ὕπαρξιν ἀναγκαῖον.

## § ΥΓ'.

Τὸ καθ' ὕπαρξιν καὶ κατ' οὐσίαν ἀναγκαῖον, καὶ αἰώνιον καὶ ἀεὶ ὡσαύτως διαμένον παντέλειον· καθότι εἰ προσθήκης καὶ ἀφαιρέσεως ἐπιδεκτικὸν ὑπάρξει, καὶ τρεπτὸν ἔσεται· καὶ ἑπομένως ἐνδεχόμενον.

## § ΥΔ'.

Ἐπειδὴ καὶ τὰ ἐνδεχόμενα καὶ σύνθετα, εἰσὶ τρεπτά, δῆλον ὅτι



ἀδύνατον ταῦτα ἢ μέρη εἶναι, ἢ ἀλλοιώσεις καὶ μεταβολαὶ τῆς ἀμεροῦς ἐκείνης καὶ ἀτρέπτου οὐσίας, ἢ τοῦ καθ' ὕπαρξιν ἀναγκαίου ὄντος· ὅθεν καὶ ἡ κατὰ Σπινόζαν εἱμαρμένη ἀνύπαρκτος ἐστί.

## § ΥΕ'.

Ἐπειδὴ καὶ αἱ ἐνδεχόμεναι οὐσίαι, οὐδὲ μέρη, οὐδὲ τρόποι εἰσὶ τῆς ἀμεροῦς ἐκείνης, καὶ ἀτρέπτου οὐσίας, ἢ τοῦ καθ' ὕπαρξιν καὶ κατ' οὐσίαν ἀναγκαίου ὄντος, ἕπεται ὅτι ἐκ τοῦ μηδενὸς ἑαυτῷ βουλήσει μόνῃ, ὑπ' αὐτῆς εἰς τὸ εἶναι παρήχθησαν.

## § Υϛ'.

Ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι βουλήσει μόνῃ, τὰ ὄντα παραγαγοῦσα οὐσία, ἢ τὸ καθ' ὕπαρξιν ἀναγκαῖον ὂν ὑφ' οὗ βουλήσει μόνῃ τὰ ὄντα ἐκ τοῦ μὴ ὄντος παρήχθησαν, ἀπειροδύναμον ἐστί, διότι ἡ τοῦ μὴ ὄντος πρὸς τὰ ὄντα σχέσις, ἄπειρος ἐστί, καὶ ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγή, οὐσίας ἐστὶν ἴδιον, ἧς ἡ δύναμις τῇ βουλήσει σύμφωνος καὶ ἑπομένως ἄπειρος

## §. ΥΖ'.

Τὸ καθ' ὕπαρξιν ἀναγκαῖον, καὶ βουλήσει μόνῃ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὸν τὰ ὄντα, ἐλεύθερον ἐστι, καὶ αὐτεξούσιον καὶ ἀνεξάρτητον· εἰ δὲ μή, οὐδὲ καθ' ὕπαρξιν ἀναγκαῖον ἦν, οὐδὲ βουλήσει μόνῃ τὰ ὄντα ἐκ τοῦ μὴ ὄντος παρῆγεν· ἐξ ὧν ἕπεται, ὅτι καὶ ἡ κατὰ στωϊκοὺς εἱμαρμένη ἀνύπαρκτος ἐστί.

## § ΥΗ'.

Τὸ καθ' ὕπαρξιν ἀναγκαῖον, καὶ ἄτρεπτον, καὶ παντέλειον, καὶ βουλήσει μόνῃ, καὶ ἐλευθέρως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὸν τὰ ὄντα πανάγαθον ἐστί· διότι ἄλλέως ἀτελὲς ἔσεται, καὶ τρεπτὸν· καὶ οὐ καθ' ὕπαρξιν ἀναγκαῖον.

## § ΥΘ'.

Τὸ καθ' ὕπαρξιν ἀναγκαῖον, καὶ μετὰ βουλῆς, καὶ αἱρέσεως καὶ ἐλευθέρως καὶ παναγάθως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὸν τὰ ὄντα, δῆλον ὅτι καὶ μετὰ γνώσεως καὶ νοήσεως αὐτὰ παρήγαγε· διότι ἄλλως οὐδὲ μετὰ αἱρέσεως, οὐδὲ ἐλευθέρως· ὅθεν ἕπεται, ὅτι τὸ τοιοῦτον ὄν, νοῦς ἐστι νοητικώτατος, καὶ πανσθενέστατος, καὶ ἀπειράγαθος· διότι ἄλλως καὶ ἀτελὴς ἔσεται, καὶ τρεπτὸς, καὶ οὐ καθ' ὕπαρξιν ἀναγκαῖος.

## § ΥΓ΄.

Ἐπειδὴ καὶ τὸ μετὰ βουλῆς, καὶ γνώσεως, καὶ αἱρέσεως ποιητικόν, τέλους τινὸς ἕνεκα ποιεῖ, δῆλον ὅτι τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ σύμπαντα παραγαγόν, πρός τι τέλος αὐτὰ παρήγαγε· καὶ ἐπειδὴ πανάγαθον ἐκεῖνο ἐστίν, ἕπεται ὅτι πρὸς τὸ ἀγαθὸν ἢ πρὸς τὸ εὖ εἶναι ἢ εὐδαιμονεῖν αὐτὰ ἐποίησεν.

## § ΥΙΑ΄.

Ὑπάρχει λοιπὸν ὄν, καθ' ὕπαρξιν καὶ κατ' οὐσίαν ἀναγκαῖον· παντοδύναμον, πάνσοφον, πανάγαθον, ἀπειροτέλειος νοῦς, ὑπέρτατον καὶ μακαριώτατον ὄν, ὑφ' οὗ, καὶ δι' οὗ, καὶ ἐνῷ τὰ πάντα, καὶ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον· τοῦτο δὲ τὸ ὂν καὶ λέγεται καὶ ἐστὶν ὁ πανσθενὴς καὶ ἀπειροτέλειος τῶν ὅλων Δημιουργὸς Θεός. Ἐκ τούτων δὲ ἁπάντων ἕπεται, ὅτι ἡ κατὰ Πλάτωνα εἱμαρμένη ἀσύστατος ἐστίν.

## § ΥΙΒ΄.

Ἐπειδὴ δὲ καὶ εὐδαιμονία, ἄνευ τῆς ἐντελεχείᾳ τελειοποιήσεως τῶν δυνάμεων ἢ ἰδιοτήτων τῶν εὐδαιμονίας ἐπιδεκτικῶν ὄντων ἀδύνατ ς ἐστιν, ἀδύνατον δὲ ταύτην γενέσθαι τελειοποίησιν, ἄνευ τοῦ ἀπειροτελείου ὄντος, δῆλον ὅτι ἀδύνατον εὖ εἶναι τὰ ὄντα καὶ εὐδαιμονεῖν τὰ εὐδαιμονίας ἐπιδεκτικά, ἄνευ τῆς πρὸς τὸ ἀπειροτέλειον ὂν σχέσεως· ὅθεν δῆλον ὅτι τὰ νοητικά, καὶ βουλητικά, καὶ ἐλεύθερα ὄντα, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ὑπ' αὐτοῦ παρήχθησαν, εἰς τὸ ἐν γνώσει καὶ ἐλευθέρως ὑπ' ἐκείνου, καὶ δι' ἐκείνου, καὶ ἐν ἐκείνῳ μόνῳ εὐδαιμονεῖν· ἐπὶ τὸ ἐλευθέρως δηλ. κατ' αὐτὸ φιλοσοφεῖν ἢ ἐπὶ τὸ ἐλευθέρως κατ' αὐτὸ θεοσεβεῖν, ἐξ ὧν ἕπεται, ὅτι ἡ κατὰ Μωαμεθανοὺς εἱμαρμένη ἀνύπαρκτος ἐστὶ

# ΚΟΣΜΟΛΟΓΙΑ

## § ΥΙΓ΄.

Τὸ ὑλικὸν τοῦτο τοῦ σύμπαντος σύστημα, ἐνῷ διάφορα παρατηροῦνται φαινόμενα, κόσμος ἐν γένει ὀνομάζεται· ὅθεν καὶ ἡ περὶ αὐτοῦ γενικωτέρα θεωρία, ***Κοσμολογία*** καλεῖται.

## § ΥΙΔ΄.

Εἰ καὶ διάφοροι ἐπιστῆμαι, ὡς ἡ φυσικὴ ἱστορία ἢ φυσική, καὶ



μάλιστα ἡ Ἀστρονομία, εἰς τὴν τοῦ κόσμου ἐνασχολοῦνται θεωρίαν, μερικώτερον ὅμως τὰ κατ' αὐτῶν θεωροῦσι φαινόμενα, ἡ δὲ Κοσμολογία γενικώτερον τὰ περὶ αὐτοῦ διερευνᾷ.

## § ΥΙΕ΄.

Τὰ ἐν τῷ κόσμῳ ἐν γένει παρατηρούμενα, εἰσὶ φαινόμενα πολλῶν ἅμα καὶ συνδιαμενόντων, καὶ ἄλλων ἄλλα διαδεχομένων, καὶ διαφόρως μεταβαλλομένων, καὶ πρακτικῶς καὶ τελικῶς συνηρμοσμένων· φαίνεται δηλ. λόγος καὶ τάσις μερῶν πρὸς ὅλον, καὶ ὅλου πρός τι τέλος· γνῶσις τούτων κα ἐνέργεια πρὸς ταῦτα φαίνεται κίνησις· οἷον μηχανικὴ κίνησις, α τική, νόησις καὶ λογικότης, καὶ αὐτογνωσία, καὶ βούλησις, ἡ ι ινησία ἐν γνώσει, καὶ ἐνέργεια ἐλευθέρα, περὶ ὧν ἁπάντων ἡ Ι *ολογία* πραγματευθήσεται.

## ΥΙϚ΄.

Τὰ περὶ τοῦ κόσμου διττῶς θεωρεῖν δυνατόν, ἢ ἐκ τῶν προτέρων δηλ. καὶ τότε τὰ περὶ αὐτοῦ θεωρούμενα, ἐκ τῆς ὀντολογίας ἕξουσι τὰς ἀρχάς, ἢ ἐκ τῶν ὑστέρων, καὶ τότε τὰ περὶ αὐτοῦ, ὡς ἐκ τῶν ἐν αὐτῷ φαινομένων θεωρηθήσονται· ἀλλ' εἰ καὶ οἱ δύο οὗτοι τρόποι τοῦ θεωρεῖν τὰ περὶ τὸν κόσμον φαινόμενα διάφοροι εἰσίν, εἰς τὰ αὐτὰ ὅμως φέρουσιν ἐξαγόμενα· ἴδωμεν λοιπὸν ὁποῖά τινά εἰσι, τὰ κατ' αὐτοὺς θεωρούμενα.

## § ΥΙΖ΄.

Ὑπάρχει ὂν καθ' ὕπαρξιν καὶ κατ' οὐσίαν ἀναγκαῖον, παντοδύναμον, πάνσοφον, πανάγαθον, ἀπειροτέλειος νοῦς, πανσθενέστατος, καὶ ἀπειρόσοφος, καὶ ἀπειράγαθος, καὶ πανελεύθερος· τὸ τοιοῦτον λοιπὸν ὄν, πάντα τὰ παρ' αὐτὸ μὴ ἀντιφάσκοντα ὄντα, συμφώνως ταῖς αὐτοῦ ἀπειροτελείοις ἰδιότησιν, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι βουλήσει μόνῃ παράγειν δύναται.

## § ΥΙΗ΄.

Πόθεν δυνατὸν ἦν αὐτῷ, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, βουλήσει μόνῃ, ὑλικὴν ἢ σωματικὴν οὐσίαν τοιαύτην παραγαγεῖν, ὥστε τὰ μόρια καὶ μέρη αὐτῆς, ἀδρανῆ μὲν καθ' ἑαυτὰ ὑπάρχοντα, ἐνεργὰ δὲ πρὸς ἄλληλα, κατὰ λόγον καὶ τάξιν μερῶν πρὸς ὅλα συνελθόντα, ὑλικά τινα συστῆσαι μόρια; ταῦτα δὲ πάλιν συνελθόντα οἷον τὴν βάσιν τοῦ ὑλικοῦ συμπληρῶσαι κοσμικοῦ συστήματος;

## § ΥΙΘ'.

Τὰ μόρια δὲ ταῦτα, σφαιροειδῶς πως συνελθόντα, καὶ διαφόρως ἐπισωρευθέντα, δύο τινὰ ἐνεργεῖν κινήσεως εἴδη· τὴν τῆς προσεγγίσεως ἢ καταπτώσεως, καὶ τὴν περιστρεπτικήν· καὶ ταύτας ἐν ὀρθῷ μὲν λόγῳ τῶν μορίων αὐτῆς, ἐν ἀντιπεπονθότι δὲ τῶν τετραγώνων τῶν ἀποστάσεων.

## § ΥΚ'.

Δυνατὸν ἦν δεύτερον· μόνῃ τῇ αὐτοῦ βουλήσει, καὶ ὕλην ὀργανικήν, ἢ πλαστικὴν τοιαύτην παράξαι, ὥστε τὰ μόρια αὐτῆς κατὰ λόγον καὶ τάξιν μερῶν πρὸς ὅλα, καὶ ὅλον πρός τι τέλος συνερχόμενα, διάφορα παράγειν ὀργανικὰ ὅλα· δι' ὧν ὄντα αἰσθητικὰ τὰς τῶν σωματικῶν ὄντων προσβολὰς δεχόμενα, τῶν δι' αὐτῶν ἐγειρομένων δυσαρέστων ἢ εὐαρέστων αἰσθημάτων αἰσθάνεσθαι, ὥστε τῶν ἐν αὐτοῖς φαινομένων ἐνεργειῶν ἢ κινήσεων, καὶ τὸ σωματικῶς εὐάρεστον ἢ δυσάρεστον, ἢ τὸν σωματικὸν πόνον, ἢ ἡδονὴν αἴτιον εἶναι.

## § ΥΚΑ'.

Δυνατὸν ἦν τρίτον· βουλήσει μόνῃ τῇ αὐτοῦ οὐσίᾳ ἄλλως παρὰ τὰς σωματικὰς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθῆναι· καὶ τούτων τὰς μὲν διαφόρως αἰσθητικάς, καὶ διὰ τοῦ εὐαρέστου ἢ δυσαρέστου αἰσθήματος διατιθεμένας, τὰς δὲ διαφόρως νοητικάς, καὶ βουλητικάς, καὶ ἐλευθέρως ἐνεργητικάς, καὶ λογικάς, καὶ αὐτογνωστικάς, καὶ δυναμένας μὴ μόνον τὰ περὶ τὰ δημιουργηθέντα θεωρεῖν, ἀλλὰ καὶ τὰ περὶ τὰ αὐτὸν τὸν δημιουργὸν διερευνᾷν, καὶ ὑπ' αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ ἐν αὐτῷ μόνῳ εὐδαιμονεῖν· ὥστε τῶν ἐν αὐτῷ φαινομένων ἐνεργειῶν, καὶ τὸ πρὸς τὴν τοιαύτην εὐδαιμονίαν φέρον τοῦ δημιουργοῦ θέλημα, αἴτιον γίνεσθαι· ὅπερ ἐν γένει μὲν διὰ τῶν θείων αὐτοῦ προσόντων, καὶ διὰ τῶν ἐν ταῖς τοιαύταις οὐσίαις δυνάμεων, κατάδηλον γίνεται· ἐν μέρει δὲ διὰ τῆς πρὸς τὸ ὕψιστον ὂν μερικωτέρας τῶν τοιούτων οὐσιῶν ἀποστάσεως.

## § ΥΚΒ'.

Ἐκ τούτων ἕπεται πρῶτον, τὰ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι βουλήσει μόνῃ ὑπό τινος παράγεσθαι δυνάμενα, ἀρχὴν μὲν λαμβάνειν παραγόμενα, ἀΐδια δὲ καθ' ἑαυτὰ εἶναι· διότι μηδόλως ὄντα εἰς τὸ εἶναι παράγονται, καὶ τῇ βουλήσει μόνῃ τοῦ δημιουργοῦ, εἰς τὸ μὴ εἶναι ἐπιστρέφειν δύνανται, ὡς οὐδὲ τοῦ εἶναι, οὐδὲ τοῦ μὴ εἶναι λόγον ἀποχρῶντα ἐν ἑαυτοῖς ἔχοντα.



## § ΥΚΓ'.

Δεύτερον· προνοίᾳ τοῦ δημιουργοῦ, καὶ συντηρεῖσθαι καὶ κυβερνᾶσθαι, τὰ ὑπ' αὐτοῦ παράγεσθαι δυνάμενα, καὶ μηδὲν αὐτῶν εἶναι ἀπρονόητον, ὡς βουλήσει μόνῃ, καὶ γνώσει, καὶ ἐνεργείᾳ, καὶ κατὰ λόγον μερῶν πρὸς ὅλα, καὶ ὅλων πρός τι τέλος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγόμενα, καὶ συντηρούμενα, καὶ κυβερνώμενα, ὥστε τὴν κατὰ βούλησιν μόνην καὶ γνῶσιν τοῦ Δημιουργοῦ, συντήρησιν καὶ κυβέρνησιν αὐτῶν, εἴτε τὴν περὶ αὐτῶν τοῦ Δημιουργοῦ πρόνοιαν· οἷον συνεχῆ τινα ὑπάρχειν Δημιουργίαν.

## § ΥΚΔ'.

Τρίτον· ἀπειροπληθεῖς μὲν εἶναι τοὺς δυνατοὺς καλλίστους κόσμους, ἕνα δέ τινα πραγματικῶς, κατά τι χρονικὸν διάστημα ὑπάρχειν δύνασθαι· καθότι καὶ ἀπειροπληθεῖς εἰσὶν αἱ σχέσεις τῶν μερῶν πρὸς τὰ ὅλα, καὶ τῶν ὅλων πρός τι τέλος· ἀδύνατον δὲ ἐνταυτῷ καὶ ἐπὶ τὸ αὐτὸ δύο τινὰ συνυπάρχειν ὄντα.

## § ΥΚΕ'.

Τέταρτον· τὸ ὅλον τοῦ σύμπαντος συμπλήρωμα· οἷον, ἄπειρον, ὡς πρὸς ὁλικόν τι ὑπάρχειν αὐτοῦ μέρος.

## § ΥΚϚ'.

Πέμπτον· δυνατὰ εἶναι τὰ κατὰ φύσιν μὲν συμβαίνοντα, παρὰ φύσιν δὲ φαινόμενα, ἀλλὰ σύμφωνα ὑπάρχειν δεῖ, ταῖς ἀπειροτελείοις τοῦ ὑψίστου ὄντος ἰδιότησι.

## § ΥΚΖ'.

Ἕκτον· δυνατὸν τὰς νοερὰς οὐσίας τῷ ἀπειροτελείῳ ὄντι διαφόρως κοινωνεῖν ἀλλὰ δεῖ ταύτας κατ' ἐκεῖνο ἐλευθέρως διατίθεσθαι.

## § ΥΚΗ'.

Καὶ ταῦτα μὲν ἐκ τῶν προτέρων· περὶ τῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἀπειροτελείου Δημιουργοῦ δυναμένων παράγεσθαι ὄντων, ἢ περὶ τοῦ ὑπ' αὐτοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι δυναμένου παράγεσθαι κοσμικοῦ συστήματος, οὗτινος ἡ ὕπαρξις καὶ τὴν τοῦ ἀπειροτελείου ὄντος διακηρύττει πραγματικὴν ὕπαρξιν· ὡς ἐκ τῶν ὑστέρων δὲ θεωρητέα εἰσὶ τὰ ἑξῆς·

## § ΥΚΘ'.

Ὑπάρχει οὐσία ὕλη ὀνομαζομένη, ἧς τὰ μόρια, ἀδρανῆ μὲν καθ' ἑαυτὰ ὄντα, ἐνεργὰ δὲ πρὸς ἄλληλα, συνελθόντα, διάφορα παρήγαγον σώματα, κινητὰ ἐν τόπῳ καὶ κινητικά· τούτων δὲ πάλιν συνελθόντων, διάφορα παρήχθησαν ὁλικὰ μόρια, ἐξ ὧν τὸ μέγα τοῦτο συμπληροῦται κοσμικὸν σύστημα.

## § ΥΛ'.

Τὰ ὑλικὰ ὄντα, ἢ τὰ σώματα ἐν γένει, ἐν ὀρθῷ λόγῳ τῶν μορίων τῆς ὕλης, ἐν ἀντιπεπονθότι δὲ τῶν τετραγώνων τῶν ἀποστάσεων, διά τινος ρευστοῦ ἐνύλου ὀνομασθέντος ἐνεργοῦντα, διαφόρους παράγουσι κινήσεις· ὧν αἱ κυριώτεραι εἰσὶν αἱ τῆς προσεγγίσεως, ἢ καταπτώσεως, καὶ ἡ περιστρεπτική· καὶ κατὰ μὲν τὴν πρώτην πληςίον τῆς ἐπιφανείας τῶν σωμάτων ἐνεργουμένην, διαστήματα διανύονται ἀνάλογα τοῖς τετραγώνοις τῶν χρόνων, ἢ τῶν ταχυτήτων· καὶ ἑπομένως κατὰ μὲν τὸν πρῶτον χρόνον ὡς ἕν, κατὰ δὲ τὸν δεύτερον ὡς τρία, κατὰ δὲ τὸν τέταρτον ὡς πέντε καὶ οὕτω καθεξῆς, κατὰ δὲ τὴν δευτέραν ὑπὸ τῶν περιφερομένων σωμάτων ἐλλειπτικαὶ τροχιαί· οὕτω διανύονται, ὥστε εἶνε τὰ ὑπὸ τῶν ἀγωγῶν ἡμιδιαμέτρων καταγραφόμενα ἐμβαδά, ἀνάλογα τοῖς χρόνοις· τὰ δὲ τετράγωνα τούτων, ἀνάλογα τοῖς τῶν ἀποστάσεων κύβοις· καὶ οὗτοι εἰσὶν οἱ κυριώτεροι νόμοι, δι' ὧν ἐκτελοῦνται αἱ πρὸς ἄλληλα τῶν ὑλικῶν μορίων ἐνέργειαι, καὶ δι' ὧν διατηρεῖται ἡ τῶν ἐν αὐτῷ κινήσεων ἁρμονία.

## § ΥΛΑ'.

Ὑπάρχει ὕλη ὀργανικὴ ἢ πλαστικὴ καλουμένη, ἧς τὰ μόρια κατὰ λόγον μερῶν πρὸς ὅλα, καὶ ὅλων πρός τι τέλος συνερχόμενα διάφορα παράγουσιν ὀργανικὰ ὄντα, δι' ὧν θαυμαστὰ τῳόντι ἀποτελοῦνται φαινόμενα.

## § ΥΛΒ'.

Ὑπάρχουσιν αἰσθητικὰ ὄντα, ἐν οἷς τὸ σωματικὸν δυσάρεστον ἢ εὐάρεστον αἴσθημα, ἢ ὁ πόνος καὶ ἡ ἡδονή, διαφόρων ἐν αὐτοῖς ἐνεργειῶν ἀφορμὴ γίνεται.

## § ΥΛΓ'.

Ὑπάρχουσι διαφόρως νοητικαί, καὶ βουλητικαί, καὶ ἐλευθέρως ἐνεργητικαί, καὶ αὐτογνωστικαὶ οὐσίαι, δυνάμεναι μὴ μόνον τὰ περὶ τὸ σύμπαν τοῦτο θεωρεῖν, καὶ τοὺς λόγους τῶν ἐν αὐτῷ φαινομένων ἐξετάζειν, ἀλλὰ καὶ τὰ περὶ αὐτὸν τὸν Δημιουργὸν διερευνᾶν, καὶ κατ' αὐτὸν ἐλευθέρως διάγειν, καὶ διὰ τῆς συμφώνου τῷ αὐτῷ θελήματι διαβιώσεως εὐδαιμονεῖν· τῶν δὲ αὐταῖς προσδιαζουσῶν ἐνεργειῶν, κυρίως ἀλήθεια καὶ ἀρετή, ἢ τὸ τοῦ ὑψίστου θέλημα ἐν γνώσει καὶ ἐλευθέρως αἴτιον γίνεται.



## § ΥΛΔ'.

Ταῦτα πάντα συνερχόμενα, τοὺς ἀπειροπληθεῖς συντιθέασι κόσμους, ὧν ἡ ἕνωσις τὸ μέγα τοῦτο συγκροτεῖ κοσμικὸν συμπλήρωμα· ἐνδεχόμενα δὲ ὑπάρχοντα, καὶ τρεπτά, διακηρύττουσι τὴν πραγματικὴν τοῦ ὑψίστου ὄντος ὕπαρξιν, τοῦ πανσθενεστάτου ἐκείνου, καὶ καὶ πανσόφου, καὶ παναγάθου, καὶ ἀπειροτελείου νοός, οὗτινος τῇ βουλήσει μόνῃ, καὶ τῇ προνοίᾳ, οὐ μόνον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθησαν, ἀλλὰ καὶ συνέχονται, καὶ συντηροῦνται, καὶ κυβερνῶνται· τοῦτο δὲ κατάδηλον μάλιστα ἐκ τῶν περὶ τὴν ὀργανικὴν ὕλην, καὶ τὰ αἰσθητικὰ ὄντα ἐνεργειῶν γίνεται.

## § ΥΛΕ'.

Ἀλλ' αἱ θεῖαι τοῦ ὑψίστου ὄντος τελειότητες, ἢ τὰ θεῖα αὐτοῦ προσόντα, καταφαίνονται μάλιστα, ἐπὶ τῶν νοητικῶν, καὶ λογικῶν καὶ αὐτογνωστικῶν, καὶ ἐλευθέρως ἐνεργητικῶν ὄντων, ἅτινα κατ' αὐτὸν βιοῦντα, εὐδαιμονεῖν καὶ οἷον ἐνθεωθῆναι δύνανται.

## § ΥΛϚ'.

Τοσοῦτον δὲ ἡ ἐνδεχομένη τούτων ὕπαρξις βέβαιον καθίστησιν, ὅτι ὑπάρχει καθ' ὕπαρξιν ἀναγκαῖον καὶ ἀπειροτέλειον ὂν ὥστε καὶ τοῦ αἰσθητικοῦ τούτου κοσμικοῦ συστήματος, ὡς φάσμα ὑποτεθέντος μηδὲν ἧττον βεβαίαν καὶ ἀναμφίβολον εἶναι τὴν τοῦ ὑψίστου ὄντος πραγματικὴν ὕπαρξιν.

## § ΥΛΖ'.

Ἐπειδὴ λοιπὸν καὶ τὰ ἐνδεχόμενα ταῦτα ὄντα, βουλήσει μόνῃ τοῦ ἀπειροτελείου Δημιουργοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθησαν καὶ οὐδὲ τοῦ εἶναι, οὐδὲ τοῦ μὴ εἶναι λόγον ἐν ἑαυτοῖς ἔχουσιν, ἕπεται ὅτι ἀρχὴν μὲν ἔλαβον, ἀΐδια δὲ τὸ καθ' ἑαυτὰ εἰσίν, ὡς ἐξ ἄλλου ἐξαρτώμενα καὶ ὑπ' αὐτοῦ μόνου εἰς τὸ μὴ εἶναι ἐπιστρέφειν δυνάμενα.

## § ΥΛΘ΄.

Ἕπεται δεύτερον, ὅτι προνοίᾳ τοῦ Δημιουργοῦ καὶ συντηρεῖται καὶ κυβερνᾶται τὸ ἐνδεχόμενον τοῦτο κοσμικὸν συμπλήρωμα, ὡς κατὰ γνῶσιν καὶ βούλησιν αὐτοῦ μόνην καὶ ὑπάρξαν καὶ ὑπάρχον, ὥστε ἡ κατὰ μόνην βούλησιν καὶ γνῶσιν τοῦ Δημιουργοῦ καὶ συντήρησις καὶ κυβέρνησις ἡ περὶ αὐτοῦ τοῦ Δημιουργοῦ πρόνοια, οἷον ἀδιάλειπτον ἐστὶ Δημιουργία.

## § ΥΛΘ΄.

Ἕπεται τρίτον, ὅτι κάλλιστον τὸ ἐνδεχόμενον τοῦτο κοσμικὸν συμπλήρωμα, ὡς κατὰ γνῶσιν καὶ βούλησιν τοῦ ἀπειροτελείου καὶ ὑπάρξαν καὶ ὑπάρχον Δημιουργοῦ, καὶ προνοίᾳ τῇ αὐτοῦ καὶ συντηρούμενον καὶ κυβερνώμενον καὶ ὡς τῶν ἐν αὐτῷ ἄνευ λόγου καὶ εἰς μάτην ὑπάρχοντος. Ἀλλ᾽ ἡ τούτου παραδειγματικὴ ὕπαρξις οὐδόλως ἀναιρεῖ τὴν δυνατὴν ἄλλων καλλίστων κοσμικῶν συμπληρωμάτων ὕπαρξιν, διότι καὶ ἀπειροπληθεῖς εἰσιν αἱ τῶν μερῶν πρὸς τὰ ὅλα καὶ τούτων πρός τι τέλος δυναταὶ σχέσεις.

## § ΥΜ΄.

Ἕπεται τέταρτον, ὅτι ἕκαστον ὑλικὸν τοῦ σύμπαντος μόριον οἷον ἀπειροστὸν ὡς πρὸς τὸ ὅλον ἔσεται.

## § ΥΜΑ΄.

Ἕπεται πέμπτον, ὅτι τῶν ἐνδεχομένων ὄντων, ὡς ἐκ τῆς τοῦ Δημιουργοῦ ἐξηρτημένων βουλήσεως, δυνατὸν κατ᾽ αὐτὴν συμβαίνειν μέν τινα κατὰ φύσιν, ὑπὲρ φύσιν δὲ φαίνεσθαι· ἀλλὰ ταῦτα οὐδὲ καθ᾽ ἑαυτά, οὐδὲ ταῖς ὑψίστου ὄντος ἰδιότησιν ἀντιφάσκοντα ἔσονται.

## § ΥΜΒ΄.

Ἕπεται ἕκτον· ὅτι αἱ εἰς τὸν ὕψιστον Δημιουργὸν ἀνάγεσθαι καὶ εἰς αὐτὸν ἀποτείνεσθαι φύσιν ἔχουσαι νοητικαί, καὶ αὐτογνωστικαί, καὶ λογικαί, καὶ ἐλευθέρως ἐνεργητικαὶ οὐσίαι, τὰ περὶ αὐτὸν διερευνᾶν, καὶ κατὰ τὸ αὐτοῦ διαδιοῦν θέλημα, καὶ κατ᾽ αὐτὸν εὐδαιμονεῖν δύνανται.

## § ΥΜΓ΄.

Καὶ ἐκ τῶν ὑστέρων λοιπόν, τὰ αὐτὰ ἐξάγονται συμπεράσματα περὶ τοῦ ὑλικοῦ τούτου κοσμικοῦ συστήματος· παρατηρητέον δὲ ἐν αὐτῷ τοὺς τρεῖς κυριωτέρους καὶ γενικωτέρους νόμους, καθ᾽ οὓς ἡ αὐτοῦ ἀποτελεῖται καὶ συντήρησις καὶ κυβέρνησις· καὶ πρῶτον τοὺς οἷον μηχανικοὺς νόμους, δι᾽ ὧν ἡ τοῦ ὑλικοῦ συστήματος διατηρεῖται ἁρμονία· δεύτερον τὸν τοῦ σωματικοῦ εὐαρέστου ἢ δυσαρέστου, καθ᾽ ὃν τὰ ἁπλῶς αἰσθητικὰ διευθύνονται ὄντα· καὶ τρίτον τὸν τῆς **Θεοσεβείας**, δι᾽ οὗ ἡ τῶν ἐν γνώσει καὶ ἐλευθέρως **Θεοσεβεῖν** δυναμένων λογικῶν ὄντων ἀποπληροῦται εὐδαιμονία.



## § ΥΜΔ΄.

Ἐπειδὴ δὲ καὶ οἱ τοιοῦτοι νόμοι, σύμφωνοι ταῖς τῶν ὄντων πρὸς ἄλληλα σχέσεσιν, ἢ ταῖς αὐτῶν ἰδιότησιν ἢ δυνάμεσιν εἰσί, πολλαὶ δὲ ἀγνοοῦνται τῶν τοιούτων δυνάμεων, δῆλον ὅτι καὶ πολλοὶ τῶν μερικωτέρων νόμων, καθ᾽ οὓς τὰ ἐν τῷ κόσμῳ ἀποτελοῦνται φαινόμενα, ἄγνωστοι ἔτι ὑπάρχουσιν· ὁποιοιδήποτε ὅμως καὶ ἂν ὦσιν, εἰς ἕνα τινὰ τῶν ἀνωτέρω τριῶν ἀνάγεσθαι ἔχουσι.

## § ΥΜΕ΄.

Ἀφ᾽ οὗ ἐθεωρήσαμεν ἐν γένει τὰ περὶ τὸ κοσμικὸν τοῦτο συμπλήρωμα φαινόμενα, ἴδωμεν καὶ τὰ ὑπό τινων περὶ αὐτοῦ δοξαζόμενα· καὶ ὁ μὲν Πυθαγόρας ἐξ ὑποκειμένου καὶ ἀριθμῶν τὰ ἐν τῇ φύσει συνεκρότει ὄντα· καὶ διὰ μὲν τῆς μονάδος τὸ ποιητικὸν ὑπεσήμαινε· διὰ δὲ τῆς δυάδος τὸ ὑλικὸν καὶ παθητικόν, ὧν τὸ μὲν ἐστι νοῦς ὁ Θεός, τὸ δὲ ὁ κόσμος ὁ ὁρώμενος· τοῖς δὲ ἐντεῦθεν ἀριθμοῖς τὰ εἴδη· ἀλλ᾽ ἀγνοεῖται πῶς ἐκ τῶν ἀριθμῶν συνίστασθαι τὰ ὄντα ὑπελάμβανε· διότι ἄλλοι μὲν ἀντὶ τῶν ἀριθμῶν, τὰ εἴδη ὑποσημαίνειν τὸν Πυθαγόραν νομίζουσι, τὰ ὑπὸ τῆς μονάδος ἢ τοῦ νοὸς κοσμηθέντα· ἄλλοι δὲ τὰς ἰδέας καθ᾽ ἃς δημιουργοῦνται, ἃς εἰσῆγε καὶ ὁ Πλάτων ὕστερον καὶ ἄλλοι τὰς ἀτόμους ἢ τὰ ἄτομα.

## § ΥΜϚ΄.

Ὁ δὲ Πλάτων τρεῖς ἀρχὰς ὑπετίθετο· τὸν Θεόν, τὴν ὕλην, τὴν ἰδέαν· ἔστι δὲ ὁ Θεὸς νοῦς· ὕλη, τὸ ὑποκείμενον γενέσει καὶ φθορᾷ· καὶ ἰδέα, οὐσία ἀσώματος ἐν τοῖς νοήμασι, καὶ ταῖς φαντασίαις τοῦ Θεοῦ· διότι κατὰ τοὺς Πλατωνικούς, τὸν κόσμον ἐπάναγκες ἦν γενέσθαι· καὶ ὑπό τινος, καὶ ἔκ τινος, καὶ πρός τι· ὧν τὸ μὲν ἐστὶ τὸ ὑφ᾽ οὗ· τὸ δὲ τὸ ἐξ οὗ, καὶ τὸ τελευταῖον τὸ πρὸς ὅ.

## § ΤΜΖ΄.

Οἱ Στωϊκοὶ δύο ἀρχὰς ὑπετίθεντο· τὴν μὲν ἐνεργητικὴν δηλ. εἴτε τὸν Θεόν, τὴν δὲ παθητικήν, εἴτε τὴν ὕλην· καὶ ὁ Ἀριστοτέλης τρεῖς,

τὴν ὕλην, τὸ εἶδος καὶ τὴν στέρησιν. Ὁ δὲ Δημόκριτος καὶ ὁ Ἐμ-
πεδοκλῆς τὰς ἀτόμους, ὡς ἀρχὰς τῶν ὄντων εἰσῆγον.

## § ΥΜΗ΄.

Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος, ἀρχὰς τῶν ὄντων τὰς ὁμοιομερείας
ἐδόξασε· νοῦν δὲ αὐτὰς διακοσμοῦντα ἐπέστησε λέγων· ὁμοῦ πάντα
χρήματα ἦν· νοῦς δὲ αὐτὰ διῇρε καὶ διεκόσμησεν· ἀλλ' αἱ τοιαῦται
δόξαι, ὡς μὴ τὸ καθ' ὕπαρξιν ἀναγκαῖον ὄν, ἀρχὴν μόνην πάντων
τῶν ἐνδεχομένων εἰσάγουσαι, καὶ ἄλογοι καὶ ἄτοποι εἰσίν, ὡς ἐκ τῶν
προλαβόντων δῆλον γίνεται.

## §. ΥΜΘ΄.

Τῶν δὲ νεωτέρων ὁ Καρτέσιος ὑπετίθετο· πρῶτον ἀπέραντον ὕ-
λης μέγεθος, ἢ ἔκτασιν συνεχῆ καὶ ὁμοφυῆ· δεύτερον, ὅτι ἐτμήθη
εἰς ἀνείκαστον πληθὺν βραχυτάτων μορίων, κατὰ τὸ σχῆμα κυβο-
ειδῶν, ἢ πυραμοειδῶν· τρίτον, ὅτι ἐκινήθη κατὰ διπλῆν κίνησιν,
τὴν μὲν περὶ τὸ ἴδιον κέντρον, κατὰ δὲ τὴν ἑτέραν πολλὰ τῶν μορίων
περί τι κέντρον εἰς πάντα κενόν· συνῆγε δὲ ἐκ τούτων ὅτι τῇ
τοιαύτῃ κινήσει τῶν μορίων ἀλλήλοις ἐπιτριβομένων τριττή τις ὕλη·
ἡ μὲν δηλ. ὡς κόνις λεπτοτάτη, ἡ δὲ περιεραιθεισῶν τῶν γωνιῶν, ὡς
ὕλη σφαιροειδὴς τὸ σχῆμα· ἡ δὲ τρίτη ἐκ τῶν ὀγκωδεστέρων ἐπιτριμ-
μάτων· διέκρινε ταύτην μέν, ὡς παχυτέραν, τραχεῖαν, νωθρὰν καὶ
πρὸς κίνησιν ἀφυεστάτην· τὴν δὲ δευτέραν, ὡς σφαιροειδῆ, λείαν
καὶ εὔρουν καὶ εὐκίνητον, τὴν δὲ πρώτην ὡς λεπτοτάτην εὐρουστά-
την καὶ εἰς κίνησιν ὀξυτάτην, καὶ διὰ πάντων τῶν σωμάτων ἀκωλύ-
τως διαῤῥέουσαν· καὶ ἐκ ταύτης μὲν τὰ αὐτόφωτα ἐποίει σώματα·
ἐκ τῆς δευτέρας δὲ τὰ ῥοώδη· καὶ ἐκ τῆς τρίτης τὰ ἀντίτυπα· ἀλλ'
ἡ τοιαύτη δόξα ἐναντία τοῖς περὶ τῶν κόσμων εὑρέθη φαινόμενοις.

## § ΥΝ΄.

Οἱ δὲ περὶ τὸν Λεϊβνίτιον, τὰς μονάδας ὡς ἀρχὰς τοῦ κόσμου
ἐδόξαζον· αἱ δὲ μονάδες οὐσίαι τινὲς αὐτοῖς ὑποτίθενται, ἁπλαῖ δυ-
νάμεσι τισὶν ἐνεργητικαῖς, οἷον· ἐμψυχωμέναι· μονάδων δὲ εἴδη ἀρι-
θμοῦνται τέσσαρα παρ' αὐτοῖς· τὸ πρώτιστον ὁ Θεός, ἡ πρώτη καὶ
ὑπερτάτη καὶ μόνη μονάς· δεύτερον τὸ τὰς λογικὰς περιέχον μονά-
δας· ὅσαι δηλ. λόγῳ κεκοσμημέναι ψυχαὶ τὸν διάκοσμον σαφῶς καὶ
διακεκριμένως νοεῖν πεφύκασιν· τρίτον τὸ τῶν ἐν τοῖς κτήνεσι ψυ-
χῶν ἐστὶ τῶν ἀλόγων· τὸ δὲ τέταρτον καὶ ἔσχατον εἶδος τῶν σωμα-
τικῶν ὄντων, μηδὲ ἐκτεταμένων κατ' αὐτούς, ἀσχηματίστων δὲ καὶ
ἀδιαιρέτων, καὶ ἀκριβῶς ἁπλουστάτων, μόνης δὲ κινητικῆς δυνάμεως



εὐμοιρουσῶν, αἱ φύσεις αἱ σωματικαὶ συνεστήκασιν· ἀλλὰ καὶ ἡ τοι-
αύτη δόξα, τῇ τῶν Πυθαγορείων, ὡς ἔγγιστα ὁμοία ἐστί, καὶ οὐδὲ
τοῖς περὶ τὸν κόσμον φαινομένοις σύμφωνος.

## § ΥΝΑ΄.

Ὁ δὲ Βυφῶν πρὸς παραγωγὴν τῆς γῆς ὑπέθετο κομήτην, ὅστις
ὑπὸ τοῦ Ἡλίου βιαίως ἑλκυσθείς, καὶ ἐπ' αὐτοῦ ἐπιπεσὼν μέρος
αὐτοῦ ἀπέσπασε· τοῦτο δὲ ἀπὸ τῆς κρούσεως, καὶ τῆς τοῦ Ἡλίου
ὁλκῆς βιαζόμενον, καὶ περὶ αὐτὸν καὶ περὶ τὸν ἴδιον ἄξονα περιε-
στράφη, καὶ τὴν αὐτὴν ἔτι διατηρεῖ κίνησιν· πεπυρακτωμένον δὲ τὸ
κατ' ἀρχὰς ὂν κατὰ μικρὸν ἐψυχραίνετο, καὶ οὕτως ἐπιτήδειον εἰς
παραγωγὴν καὶ ζώων καὶ φυτῶν ἐγένετο· ἀλλὰ καὶ ἡ τοιαύτη δόξα
ἐναντία τοῖς περὶ τὴν γῆν εὑρίσκεται φαινομένοις.

## § ΥΝΒ΄.

Τινὲς δὲ καὶ τὸν κόσμον αὐτόν, οἷον ἔμψυχον ζῶον ἐδόξαζον·
καὶ ὁ μὲν Πλάτων ζῶον παμμέγεθες, ἔννουν, ἐκ σώματος καὶ ψυχῆς
συγκείμενον ὑπελάμβανεν· ὁ δὲ Ἀριστοτέλης τὰ οὐράνια μόνα τὰς
σφαίρας ἔχειν ἐμψύχους καὶ ζωτικὰς ἀπεφαίνετο· ἀλλ' εἰ μὲν οὗτοι
διὰ τοῦ ἐμψύχους εἶναι τοὺς κόσμους δυνάμεις ἔχειν αὐτούς, οἷον
ζώσας καὶ ἐνεργοὺς ὑποσημαίνειν ἤθελον, οὐ μακρὰν τῆς ἀληθείας
ἦσαν, διότι ἔχουσι λαβόντες παρὰ τοῦ Δημιουργοῦ δυνάμεις, δι' ὧν
τὰ περὶ αὐτοὺς παράγονται φαινόμενα· οἱ δὲ ὡς ζῶον αὐτὸν ἀληθῶς
ἐφρόνουν: ἀλλ' αὐτὰ τὰ πράγματα τῇ δόξῃ αὐτῶν ἀντιβαίνουσι, διό-
τι οὐδὲ προαιρετική τις περὶ αὐτοὺς φαίνεται κίνησις· οὐδ' ἔστι τι
παρὰ τὸν κόσμον τὸ καὶ τρέφειν αὐτὸν καὶ αὔξειν δυνάμενον.

## § ΥΝΓ΄.

Τοιοῦται μὲν εἰσιν αἱ κυριώτεραι περὶ τοῦ κόσμου δόξαι· ἀλλὰ τὰ
πράγματα αὐτὰ μόνον οὐ λέγουσιν, ὅσα καὶ ἐκ τῶν προτέρων, καὶ
ἐκ τῶν ὑστέρων, ὡς βέβαια δεικνύονται, πρῶτον δηλ. ὅτι τὰ ἀδρανῆ
μὲν καθ' ἑαυτά, ἐνεργὰ δὲ πρὸς ἄλληλα μόρια οὐσίας, ὕλης μὲν
ὀνομαζομένης, ἐκ δὲ τοῦ μηδενὸς εἰς τὸ εἶναι ὑπὸ τοῦ Δημιουργοῦ
τῶν ὅλων βουλήσει μόνῃ παραχθείσης συνελθόντα, τὰ ὁλικὰ τοῦ
σύμπαντος παρήγαγον μόρια.

## § ΝΔΑ΄.

Δεύτερον: ὅτι τὰ μείζονα τούτων, διαφόρως διὰ τὴν ἐν αὐτοῖς
διάφορον τῆς ὕλης, καὶ ἑπομένως ῥευστοῦ τινος ἐνύλου ὀνομασθέν-
τος ἐπισώρευσιν, ὀρθῶς μὲν τῶν μορίων αὐτῆς, ἐν ἀντιπεπονθότι

δὲ τῶν τετραγώνων τῶν ἀποστάσεων, καὶ περὶ ἑαυτὰ, καὶ περὶ τὸν ἴδιον αὐτῶν ἄξονα, κατὰ τὴν διαφορὰν δηλ. τῆς ἐπὶ τῆς ἐπιφανείας καὶ τοῦ κέντρου αὐτῶν ἐνεργείας περιστρέφουσι· καὶ αὐτὰ δὲ τὰ περιστρέφοντα διὰ τὴν αὐτὴν αἰτίαν περὶ τὸν ἴδιον ἄξονα ὡσαύτως περιστρέφεσθαι ἀναγκάζονται.

§ ΥΝΕ'.

Τρίτον· ὅτι τὰ διὰ τῆς ἐπισωρεύσεως τῶν ὑλικῶν μορίων, παραχθέντα ὑλικὰ τοῦ κόσμου μόρια, μαλακὰ τὸ κατ' ἀρχὰς ἐμορφώθησαν, ὡς ἐκ τοῦ περὶ τοὺς πόλους αὐτῶν πιεσμοῦ δῆλον γίνεται, ἀγνοεῖται δὲ ἡ ἐποχὴ τῆς τοιαύτης αὐτῶν μορφώσεως καὶ τῆς μετὰ ταῦτα μερικωτέρας αὐτῶν καταστάσεως.

§ ΥΝϚ'.

Τέταρτον, ὅτι τὰ τῆς ὀργανικῆς ὕλης μόρια, τὰ πρὸς τὴν ἕνωσιν αὐτῶν, κρᾶσιν δηλ. καὶ ὑγρασίαν, ἀπαιτούμενα ἔχοντα, συνελθόντα, τὰ διάφορα παρήγαγον ὀργανικὰ ὄντα· καὶ οὕτω συνεκροτήθη τὸ μέγα τοῦτο κοσμικὸν σύστημα, οὗ τινος ἡ τῶν ἁπλῶς αἰσθητικῶν ὄντων, καὶ ἡ τῶν λογικῶν καὶ αὐτογνωστικῶν καὶ ἐλευθέρως ἐνεργητικῶν, κατὰ βούλησιν τοῦ ὑπερτάτου ὄντος ὕπαρξις, τὸν ὁλικὸν συμπληροῖ τοῦ σύμπαντος διάκοσμον· ἐν ᾧ πάντων τῶν ὄντων αἱ διάφοροι ἐνέργειαι συμφώνως ταῖς αὐτῶν δυνάμεσι ἐκτελούμεναι φαίνονται, καὶ ὅστις τὸν ἑαυτοῦ ἀπειροτέλειον Δημιουργὸν, καὶ τὴν αὐτοῦ θείαν πρόνοιαν, καὶ τὴν κατ' αὐτὸν μόνον εὐοντίαν, καὶ δυνατὴν τῶν ὄντων εὐδαιμονίαν τρανῶς διακηρύττων οὐ παύεται.

# ΨΥΧΟΛΟΓΙΑ

§ ΥΝΖ'.

Ἡ ἐν ἡμῖν ὑπάρχουσα οὐσία ἡ αὐτοενεργὸς, καὶ ἐλευθέρα, καὶ αὐτογνωστικὴ, καὶ γνωστικὰς καὶ βουλητικὰς καὶ ἐκτικὰς ἔχουσα δυνάμεις· καὶ ἑπομένως ἀσώματος, καὶ ἄφθαρτος, καὶ ἀθάνατος, καὶ ἀϊδίου εὐδαιμονίας ἐπιδεκτικὴ οὖσα, ψυχὴ ὀνομάζεται· ἑπομένως δὲ, καὶ ἡ τὰ περὶ αὐτὴν θεωροῦσα πραγματεία, ψυχολογία προσαγορεύεται.

§ ΥΝΗ'.

Ὅτι μὲν καὶ αὐτοενεργὸν, καὶ αὐτογνωστικὴν καὶ ἐλευθέραν



ἔχομεν δύναμιν, καὶ ὅτι, καὶ ὡς βουλόμενοι, καλῶς διαφόρως ἐνεργοῦντες ὑπάρχομεν, ἕκαστος ἡμῶν ἑαυτῷ σύνοιδε· ποῖαι δέ τινες ἰδιαιτέρως εἰσὶν αἱ γνωστικαὶ καὶ βουλητικαὶ καὶ ἐνεργητικαὶ ἡμῶν δυνάμεις καὶ τίνες αἱ μερικώτεραι αὐτῶν ἐνέργειαι, ἐν ἄλλοις διελάβομεν.

§ ΥΝΘ'.

Ὅτι δὲ τὸ νοεῖν, καὶ κρίνειν, καὶ διανοεῖσθαι, καὶ συνειδέναι καὶ βούλεσθαι οὐδόλως εἰς σωματικὴν ἢ ὑλικὴν ἀνήκουσιν οὐσίαν, ἐκ τῶν ἑξῆς δῆλον γίνεται.

§ ΥΞ'.

Πρῶτον· ἡ σωματικὴ οὐσία, ἑτεροκίνητος ἐστίν· ἡ δὲ νοοῦσα καὶ βουλομένη, αὐτοκίνητος, καὶ ἐλευθέρα.

§ ΥΞΑ'.

Δεύτερον· ἡ σωματικὴ οὐσία, οὐδὲ νοεῖν, οὐδὲ κρίνειν, οὐδὲ διανοεῖσθαι δύναται, διότι αἱ τοιαῦται ἐνέργειαι, καὶ ἐπὶ παρόντων, καὶ ἀπόντων, καὶ ἐπὶ ἐνεστώτων, καὶ παρελθόντων, καὶ μελλόντων καὶ ἐπ'αὐτοῦ τοῦ ὑψίστου ὄντος, πολλάκις δὲ καὶ διόλου τοῖς κατὰ τὰ αἰσθητήρια συμβαίνουσιν ἐναντίαι ἀποτελοῦνται· αἱ δὲ σωματικαὶ οὐσίαι, ἐπὶ παρόντων μόνον ἐνεργεῖν δύνανται· καὶ διότι ἀναρίθμητοι συμβαίνουσι σωματικαὶ τῶν νεύρων καὶ τοῦ ἐγκεφάλου κινήσεις, καὶ οὐδεμία γίνεται, οὐδὲ νόησις, οὐδὲ κρίσις, οὐδὲ διάνοια, ἐὰν μὴ καὶ ἡ ψυχὴ προσέχουσα ὑπάρχῃ· τοῦτο δὲ ἀδύνατον ἦν, εἰ αἱ σωματικαὶ τῶν νεύρων κινήσεις ἔννοιαι, καὶ κρίσεις, καὶ διάνοιαι ὑπῆρχον.

§ ΥΞΒ'.

Τρίτον· ἕκαστος ἡμῶν ἑαυτῷ σύνοιδεν, ὅτι πολλὰ τῷ σώματι ἐναντία καὶ βούλεσθαι καὶ πράττειν δύναται· τοῦτο δὲ ἦν, εἰ τὸ νοεῖν καὶ κρίνειν, καὶ βούλεσθαι, τοῦ σώματος ἦν ἔργον.

§ ΥΞΓ'.

Ὑπάρχει λοιπὸν ἐν ἡμῖν οὐσία, ἀσώματος, αὐτοενεργὸς, καὶ αὐτογνωστικὴ, καὶ ἐλευθέρα, ἧς ἔργον τὸ νοεῖν, καὶ κρίνειν, καὶ διανοεῖσθαι, καὶ βούλεσθαι ἐστι καὶ ἥτις ὁ κυρίως ὑπάρχει ἄνθρωπος, διὰ σωματικοῦ δὲ ὀργάνου ἐνεργοῦσα τὸν ἐκ σώματος καὶ ψυχῆς σύνθετον ἀποπληροῖ ἄνθρωπον.

## § ΥΞΔ΄.

Ἐπειδὴ καὶ ἡ ψυχὴ ἀσώματος ἐστι καὶ ἄϋλος καὶ ἑπομένως ἀσύνθετος, δῆλον ὅτι καὶ ἄφθαρτος ὑπάρχει καὶ ἀθάνατος.

## § ΥΞΕ΄.

Ἡ ἀθανασία τῆς ψυχῆς ἀποδεικνύεται προσέτι, καὶ ὡς ἐκ τῶν δυνάμεων αὐτῆς· καθότι, ἐπειδὴ καὶ αἱ δυνάμεις αὗται βελτιοῦσθαι δύνασθαι, ἀδύνατον δὲ κατὰ τὴν διάρκειαν τῆς παρούσης ζωῆς εἰς τὴν ἐνδεχομένην καταντῆσαι βελτίωσιν, ἕπεται, ὅτι ἵνα μὴ εἰς μάτην αἱ τοιαῦται ὦσι δυνάμεις, ἀνάγκη τὴν ψυχήν, ἢ τὸν κυρίως ἄνθρωπον, ἀθάνατον εἶναι καὶ ἀϊδίου εὐδαιμονίας διὰ τῆς τῶν δυνάμεων αὐτοῦ βελτιώσεως γενέσθαι μέτοχον.

## § ΥΞϚ΄.

Καὶ ὡς ἐκ τῶν θείων δὲ τοῦ ἀπειροτελείου ὄντος προσόντων, τὸ τῆς ψυχῆς, ἢ τὸ τοῦ κυρίως ἀνθρώπου ἀθάνατον κατάδηλον γίνεται· καθότι τότε μόνον ἡ ἄπειρος αὐτοῦ, καὶ σοφία καὶ δύναμις, καὶ ἀγαθότης, καὶ δικαιοσύνη, καὶ ἡ θεία αὐτοῦ πρόνοια, καὶ ἐπὶ τοῦ ἀνθρώπου καταφαίνεται, καὶ ἐνεργεῖται, ὅτε ἡ ἀϊδίου εὐδαιμονίας ἐπιδεκτικὴ αὐτοῦ ψυχὴ ταύτης μέτοχος γίνεσθαι δύναται· εἴτε ὅταν ὁ κυρίως ἄνθρωπος ἀθάνατος ὑπάρχῃ.

## § ΥΞΖ΄.

Τοιαύτη λοιπὸν ὑπάρχει ἡ τοῦ ἀνθρώπου ψυχή· ἀλλὰ πόθεν καὶ πῶς τὴν ἰδίαν λαμβάνει ἀρχήν; πρὸς λύσιν τοῦ ψυχολογικοῦ τούτου ζητήματος, διάφοροι ἀνεφάνησαν δόξαι, αἵτινες εἰς δύο ἀνάγεσθαι ἔχουσιν· εἰς τὴν τῶν προΰπαρξιν δηλ. τῆς ψυχῆς πρὸ τοῦ σώματος δοξαζόντων, καὶ εἰς τὴν τῶν συνύπαρξιν αὐτῶν φρονούντων· καθότι ἄλλοι μὲν ἐδόξασαν, ὅτι ἡ ψυχὴ ἀπό τινος ὀργανικοῦ σώματος εἰς ἕτερον μεταβαίνει σῶμα· καὶ οὗτοι εἰσὶν οἱ τὴν μετεμψύχωσιν φρονοῦντες· ἄλλοι δέ, ὅτι αἱ τῶν ἀνθρώπων ψυχαὶ προδεδημιουργημέναι οὖσαι, κατ᾽ αὐτὴν τὴν σύλληψιν εἰς τὰ σώματα τῶν ἐμβρύων ἐνοικίζονται καὶ αὕτη ὡς καὶ ἡ ἀνωτέρω ἡ τῶν προΰπαρξιν φρονούνων ἐστὶ δόξα· ἄλλοι πάλιν νομίζουσιν, ὅτι ἡ ψυχὴ κατ᾽ αὐτὴν τὴν γέννησιν, ἐκ τῶν γονέων εἰς τὰ τέκνα μεταδίδοται· καὶ αὕτη ἡ τῶν μεταδοτικῶν ὀνομάζεται δόξα· ἄλλοι τελευταῖον φρονοῦσιν, ὅτι αἱ ψυχαὶ ὑπὸ τοῦ Θεοῦ δημιουργοῦνται, καὶ εἰς τὰ σώματα εἰσέρχονται, ὅταν τὴν ἀνήκουσαν λαμβάνοντα ἀνάπτυξιν, ἱκανὰ εἰσὶ τὰς ζωτικὰς ἐκτελεῖν ἐνεργείας· καὶ αὕτη τῶν Δημιουργικῶν



ὀνομάζεται δόξα, ἥτις καὶ πιθανωτέρα τῶν λοιπῶν κρίνεται· αὕτη δὲ ὡς καὶ ἡ ἀνωτέρω, ἡ τῶν συνύπαρξιν φρονούντων ἐστίν· ἀτοπωτάτη δὲ ἁπασῶν ἐστιν ἡ τῶν δοξαζόντων τὰς τῶν ἀνθρώπων ψυχὰς ἀποῤῥοίας εἶναι τοῦ Θεοῦ· διότι οὐδὲ τῶν ἐνδεχομένων μέρος ἢ τρόπος εἶναι τῆς τοῦ Θεοῦ ἀτρέπτου καὶ ἀμεροῦς οὐσίας δύναται.

## § ΥΞΗ΄.

Ὅτι δὲ καὶ ἡ δόξα τῶν φρονούντων αὐτὴν ἢ ὡς πῦρ, ἢ ὡς ἀέρα, ἢ ὡς συγκειμένην ἐκ γῆς, καὶ ὕδατος, ὡς καὶ ἡ τῶν δοξαζόντων, ὅτε τὰ περὶ τὴν γνῶσιν, καὶ βούλησιν φαινόμενα, ἀποτελέσματα τοῦ ἀνθρωπίνου εἰσὶ σώματος, οὐχ᾽ ἧττον ἄτοπός ἐστιν ἐκ τῶν ἀνωτέρω κατάδηλον γίνεται.

## § ΥΞΘ΄.

Ζητεῖται δεύτερον, πῶς ἡ ψυχὴ μετὰ τοῦ σώματος κοινωνεῖ· καὶ πρὸς λύσιν τοῦ ψυχολογικοῦ τούτου προβλήματος, δύο ἀνεφάνησαν δόξαι. Ἡ μέν, ὅτι ὑπάρχει πραγματικὴ μεταξὺ τῆς ψυχῆς καὶ τοῦ σώματρς κοινωνία, καὶ ἑπομένως, ὅτι τὸ σῶμα συνδιατίθεται τῇ ψυχῇ, καὶ τὸ ἀνάπαλιν· καὶ αὕτη κατὰ φυσικὴν ἐπίῤῥοιαν ὀνομάζεται, ἥτις καὶ πιθανωτέρα καὶ τῶν περισσοτέρων δόξα ἐστίν, εἰ καὶ ἀγνοεῖται ὁ τρόπος τῆς τοιαύτης κοινωνίας· ἡ δὲ τῶν δοξαζόντων, ὅτι οὐδόλως ἡ ψυχὴ τῷ σώματι κοινωνεῖ· καὶ αὕτη πάλιν εἰς τὴν ἐξ ἀφορμῆς καὶ τὴν κατὰ προδιατεταγμένην ἁρμονίαν διαιρεῖται· καὶ κατὰ μὲν τὴν πρώτην, οἱ περὶ τὸν Καρτέσιον, καὶ μάλιστα ὁ Μαλεμβράχιος, ἐφρόνουν, ὅτι ὁ Θεὸς ἀπὸ τῶν ἐν θατέρῳ τοῦ ἀνθρώπου μέρει ἀλλοιώσεων ἀφορμὴν λαμβάνων, διεγείρει εἰς τὸ ἕτερον ἀναλόγους καὶ συμφώνους ἀλλοιώσεις· οἱ δὲ περὶ τὸν Λεϊβνίτιον ὑπέθεσαν ὅτι, ὁ Θεὸς καὶ ἐν τῇ ψυχῇ, καὶ ἐν τῷ σώματι δύο ἁρμονικὰς σειρὰς ἀλλοιώσεων οὕτω κατεσκεύασεν, ὥστε ἀλλοιώσεώς τινος ἐν θατέρῳ συμβαινούσης, ἀνάλογον αὐτῇ ἐν τῷ ἑτέρῳ συμβαίνειν ἀλλοίωσιν, μηδεμιᾶς μεταξὺ αὐτῆς καὶ τοῦ σώματος ὑπαρχούσης, ὡς καὶ ἐπὶ δύο ὡρολογίων ὡσαύτως κατεσκευασμένων, τὰ αὐτὰ παρατηθήσονται φαινόμενα, εἰ καὶ οὐδεμία μεταξὺ αὐτῶν ὑπάρχει κοινωνίας σχέσις.

## §. ΥΟ΄.

Ἀλλ᾽ αἱ μέχρι τοῦδε γενόμεναι ἀνθρωπολογικαὶ παρατηρήσεις, ἀπέδειξαν τὴν κατὰ φυσικὴν λεγομένην Νεπήρειαν δόξαν πιθανωτέραν· καθότι νεύρου τινὸς βλαβέντος, καὶ αἱ τῆς ψυχῆς ἐνέργειαι

μεταβάλλονται· ἐὰν δὲ παρατηρήσωμεν, ὅτι ἡ ψυχὴ ἀφορμὴν μόνον ἀπὸ τῶν διαφόρων ὄντων λαμβάνουσα, αὐτὴ καὶ τὰς ἐννοίας, καὶ τὰς κρίσεις, καὶ τὰς διανοίας παράγει· καὶ ὅτι καὶ αὐτὰ τὰ φαινόμενα τῶν ἐνεργειῶν τοῦ περὶ τὰ νεῦρα ἐνύλου, οἷον ἀσώματα εἰσί, βεβαιούμεθα, ὅτι δυνατὸν τὴν ψυχὴν τῷ σώματι συνδιατίθεσθαι· καὶ ὅτι ὡς αὐτὴ διὰ τῶν τοῦ περὶ τὰ νεῦρα ἐνύλου φαινομένων τῷ σώματι συμμεταβάλλεται, οὕτω καὶ τοῦτο διὰ τῶν αὐτῆς ἐνεργειῶν αὐτῇ συναλλοιοῦσθαι.

## § ΥΟΑ'.

Ἀπορεῖται τρίτον καὶ περὶ τῆς ἕδρας τῆς ψυχῆς, καὶ ζητεῖται ποῦ ἡ ψυχὴ εὑρίσκεται· καὶ ὁ μὲν Πλάτων ἐν ὅλῃ τῇ κεφαλῇ τὸ ἡγεμονικὸν ἱδρυσάμενος φέρεται. Ἐρασίστρατος δέ, περὶ τὴν ἐπικρανίδα ἢ μήνιγκα τοῦ ἐγκεφάλου. Ἡρόφιλος ἐν τῇ αὐτοῦ κοιλίᾳ. Παρμενίδης ἐν τῷ θώρακι. Οἱ Στωϊκοὶ ἐν ὅλῃ τῇ καρδίᾳ ἢ τῷ περὶ τὴν καρδίαν πνεύμονι. Πυθαγόρας δέ, τὸ μὲν λογικὸν καὶ νοερὸν περὶ τὴν κεφαλήν, τὸ δὲ δὲ ζωτικὸν περὶ τὴν καρδίαν.

## § ΥΟΒ'.

Τῶν δὲ νεωτέρων ὁ μὲν Καρτέσιος κατὰ τὸν πιτυώδη λεγόμενον τοῦ ἐγκεφάλου ἀδένα, τὴν ἕδραν τῆς ψυχῆς ἔθετο· ἄλλοι δὲ κατὰ τὸν φαεινὸν φραγμόν, καί τινες μὲν κατὰ τὸ τυλῶδες τοῦ ἐγκεφάλου μέρος· τινὲς δέ, κατὰ τὸν προμήκη μυελὸν τὴν ψυχὴν εἶναι ἐνόμισαν· ἀλλ' εἰ καὶ μέχρι τοῦδε οὐδὲν βέβαιον περὶ τοῦ ζητήματος τούτου γινώσκεται, τὸ ἀληθές ἐστιν, ὅτι ἡ ψυχὴ διὰ τοῦ ἐγκεφάλου ἐνεργεῖ, καὶ ὅτι διὰ τοῦ μέρους τούτου, ὅπου πάντα τὰ τῶν νεύρων πέρατα εἰς ἓν συνέρχονται, ἢ ὅθεν ὡς ἀπό τινος ἀρχῆς διαμερίζονται.

## § ΥΟΓ'.

Τὸ δὲ ζητεῖν, εἰ ἡ ψυχὴ καὶ ἀθάνατος οὖσα, μετὰ θάνατον ἐνεργεῖ καὶ μνημονεύουσα, καὶ συνείδησιν ἔχουσα, ὧν ἐν τῷ βίῳ καὶ ἔγνω καὶ ἔπραξε, καὶ εἰ ἐννοοῦσα καὶ κρίνουσα καὶ διανοουμένη, καὶ βουλομένη διατελεῖ, τὸ αὐτό ἐστι τὸ ἀπορεῖν πάλιν, εἰ ἡ ψυχὴ θνητή ἐστιν ἢ ἀθάνατος· διότι οὐδὲν διαφέρει τὴν ψυχὴν θνητὴν εἶναι, ἢ ἀθάνατον οὖσαν, μηδεμίαν ἔχειν συνείδησιν, ὧν ἐν τῷ βίῳ τῷδε ἐνήργησε, μηδὲ τὰ τῆς ψυχῆς ἐργαζομένην διατελεῖν.



# ΘΕΟΛΟΓΙΑ

## § ΥΟΔ'.

Θεὸς καί ἐστι, καὶ λέγεται, τὸ ἀπειροτέλειον ἐκεῖνο, καὶ μακαριώτατον ὄν, ὁ πανσθενὴς ἐκεῖνος, καὶ ἀπειρόσοφος, καὶ ἀπειράγαθος νοῦς, ὁ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι βουλήσει μόνῃ παραγαγών, καὶ συντηρῶν αὐτά, καὶ κυβερνῶν, καὶ πρὸς τὸ ἴδιον τέλος, ἕκαστον αὐτῶν διεξάγων· ὅθεν καὶ Θεολογία καλεῖται ἡ περὶ αὐτοῦ θεωρία, περί τε τῆς ὑπάρξεως αὐτοῦ, καὶ τῶν θείων προσόντων, καὶ τῶν θείων ἔργων διαλαμβάνουσα.

## § ΥΟΕ'.

Ὅτι ὑπάρχει Θεὸς ὑπέρτατος τῶν ὄντων Δημιουργός, οὐ μόνον ἐξ ὧν ἐν τῇ **Ὀντολογίᾳ** καὶ **Κοσμολογίᾳ** εἴπομεν, ἀλλὰ καὶ ἐκ τῆς ἰδίας αὐτοῦ ὑπάρξεως ἕκαστος ἡμῶν βεβαιωθῆναι δυνάμεθα· διότι ἕκαστος σύνοιδεν ἑαυτῷ καὶ ἀρχὴν λαβόντι καὶ τρεπτῷ ὄντι· ὅθεν καὶ ἐξ αὐτοῦ μόνου βεβαιωθῆναι δύναται, ὅτι ὑπάρχει ὂν καθ' ὕπαρξιν ἀναγκαῖον, ὑφ' οὗ καὶ αὐτὸς καὶ τὰ λοιπὰ ἐνδεχόμενα ὄντα τὴν ὕπαρξιν ἔλαβον.

## § ΥΟϚ'.

Ἀλλὰ καὶ ὡς ἐκ τῆς τῶν ἀνθρώπων ὁμοφώνου ὁμολογίας, καὶ μάλιστα ὡς ἐκ τοῦ εἶναι τὸν ἄνθρωπον ἀϊδίου εὐδαιμονίας ἐπιδεκτικόν, ἡ τοῦ ἀπειροτελείου ὄντος ἀποδεικνύεται ὕπαρξις, διότι ὡς ἡ τοῦ ὀφθαλμοῦ ὕπαρξις τὴν τοῦ φωτὸς καθίστησιν, ἡ τοῦ στομάχου τὴν τῆς τροφῆς, ἡ τῆς γνωστικῆς δυνάμεως, τὴν τῶν γνωστέων κτλ. οὕτω καὶ ἡ τοῦ ἀνθρώπου, πρὸς τὴν ἀΐδιον εὐδαιμονίαν τάσις, καὶ ἡ ἀκόρεστος αὐτῆς ἔφεσις, καὶ ἡ τοῦ πράττειν τὸ ἀγαθὸν διάθεσις, καὶ ἡ τοσούτων κωλυμάτων ὕπαρξις, ἅτινα ἀντὶ τοῦ συνεργεῖν πρὸς ἐκπλήρωσιν τούτων κωλύουσι μάλιστα ταύτην. βεβαίως ἀποδεικνύουσι τὴν ὕπαρξιν τοῦ ἀπεροτελείου ἐκείνου ὄντος, δι' οὗ μόνου καὶ ἐν ᾧ μόνῳ, αἱ τοῦ ἀνθρώπου δυνάμεις ἐν ἁρμονίᾳ ἔσονται καὶ αὐτὸς τῆς ἀνηκούσης αὐτῷ εὐδαιμονίας μέτοχος γενήσεται.

## § ΥΟΖ'.

Καὶ ταῦτα μὲν περὶ τῆς τοῦ Θεοῦ ὑπάρξεως· τί δὲ ἐστιν ὁ Θεός, οὐδεὶς οἶδεν, οὐδὲ εἰδέναι δύναται, εἰ μὴ μόνος αὐτὸς ὁ μόνος ἀπει-

ροτέλειος· ὅθεν καὶ περὶ αὐτοῦ, οὐδὲν ἕτερον γινώσκειν δυνάμεθα, εἰμὴ ἰδιότητάς τινας, ἢ θεῖα προσόντα, δι' ὧν τὸ τοιόνδε μόνον τῆς ὑπάρξεως αὐτοῦ γνωστὸν γίνεται.

## § ΥΟΗ'.

Μανθάνομεν δὲ τὰ θεῖα προσόντα, καὶ ὡς Δημιουργὸν τῶν ἐνδεχομένων ὄντων, καὶ ὡς ἀπειροτέλειον ὂν αὐτὸν θεωροῦντες· ταῦτα δὲ εἰσὶ τὸ **ἑνιαῖον**, **τὸ ἄναρχον ἢ ἀναίτιον, τὸ ἁπλοῦν, τὸ αἰώνιον, τὸ ἄτρεπτον, τὸ πάνσοφον, τὸ πανάγαθον, τὸ δίκαιον, τὸ ἄπειρον, τὸ πανταχοῦ παρεῖναι κτλ.**

## § ΥΟΘ'.

Καὶ ἑνιαῖόν ἐστι, καθ' ὃ φύσει ὁ Θεὸς εἷς μόνος ὑπάρχει· ὅτι δὲ εἷς ἐστιν ὁ Θεός, καὶ ἐξ ἄλλων δῆλον γίνεται, καὶ μάλιστα διότι, ἐὰν δύο μόνον ὑποτεθῶσι, τότε ἑκάτερος καὶ ἑπομένως ἀμφότεροι, οὐ καθ' ὕπαρξιν ἀναγκαῖοι ἔσονται.

## § ΥΠ'.

Ἀναίτιον δὲ ἢ ἄναρχον, καθ' ὃ ὑπ' οὐδενὸς ἀρχὴν ἔλαβεν, ἀλλ' ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχει· καὶ καθ' ὕπαρξιν ἀναγκαῖον ὑπάρχει ὄν.

## §. ΥΠΑ'.

Καὶ ἁπλοῦν μὲν ἐστι, καθ' ὃ ἀσώματος καὶ ἀσύνθετος ὑπάρχει· αἰώνιον δέ, καθ' ὃ ἀείποτε ὑπάρχει, μηδὲ ἀρχὴν λαβών, μηδὲ τέλος ληψόμενος· καὶ ἄτρεπτον, καθ' ὃ οὐδεμιᾷ τροπῇ ἢ ἀλλοιώσει ὑποκείμενος ἐστὶν ὡς καθ' ὕπαρξιν ἀναγκαίως ὑπάρχων.

## § ΥΠΒ'.

Πάνσοφον, καθ' ὃ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πανσόφως παρήγαγε καὶ καθ' ὃ τὴν γνῶσιν αὐτοῦ οὐδὲν διαφεύγει, οὐδὲ διαφυγεῖν δύναται· πάντα δὲ τά τε παρελθόντα, καὶ τὰ ἐνεστῶτα, καὶ τὰ μέλλοντα γνωστὰ αὐτῷ εἰσί.

## § ΥΠΓ'.

Παντοδύναμον, καθ' ὃ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι βουλήσει μόνῃ παρήγαγε καὶ καθ' ὃ αὐτὸς μόνος ὡς ἀπειροτέλειος σύμφωνον τὴν δύναμιν τῇ ἰδίᾳ ἔχει βουλήσει.

## § ΥΠΔ'.

Πανάγαθον, καθ' ὃ δι' ἰδίαν μόνην ἀγαθότητα, οὐ μόνον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παρήγαγεν, ἀλλὰ καὶ συντηρῶν αὐτὰ καὶ κυβερνῶν εἰς τὸ ἴδιον τέλος διεξάγων οὐ παύεται· δίκαιον δὲ καθ' ὃ ἑκάστῳ τὸ κατ' ἀξίαν ἀποδίδωσι.



## § ΥΠΕ'.

Τὸ πανταχοῦ παρεῖναι, καθ' ὃ ἀπειροτέλειος ὤν, πάντα τε οἶδε, καὶ ἐπὶ πάντων ἐνεργεῖ, καὶ περὶ πάντων προνοεῖ, καὶ ἀπερίγραπτος ἐστὶ καὶ ἀπεριόριστος.

## § ΥΠϚ'.

Τὸ ἄπειρον, καθ' ὃ ἀπειροτέλειος ἐστὶ καὶ ἀπερίγραπτος.

## § ΥΠΖ'.

Ἔργα δὲ τοῦ Θεοῦ λέγονται, ὅσα ὡς ἀπειρόσοφος, καὶ ἀπειράγαθος καὶ ἀπειροδύναμος βουλήσει μόνῃ καὶ ἐποίησε, καὶ ποιεῖ, καὶ ποιῶν οὐ παύεται· ταῦτα δέ εἰσιν ἡ βουλήσει μόνῃ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τῶν ὄντων παραγωγή, καὶ ἡ βουλήσει μόνῃ συντήρησις αὐτῶν καὶ κυβέρνησις, εἴτε ἡ περὶ πάντα τὰ ὄντα θεία αὐτοῦ πρόνοια· καθ' ἣν ἕκαστον αὐτῶν, κατὰ βούλησιν, καὶ γνῶσιν, καὶ ἐνέργειαν αὐτοῦ, ὡς πρωτίστης θεωρουμένης αἰτίας, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη καὶ συντηρεῖται, καὶ εἰς τὸ οἰκεῖον τέλος διεξάγεται.

## § ΥΠΗ'.

Ἐκ τούτων ἕπεται, ὅτι τὸ ἠθικὸν λεγόμενον κακὸν ἐκ μόνης τῆς τοῦ αὐτεξουσίου καταχρήσεως, τῆς ὡς ἐκ τῶν ἐλευθέρων ὄντων προερχομένης τὴν ὕπαρξιν λαμβάνειν δύναται, διότι ἀδύνατον τὸ ἀπειροτέλειον, καὶ ἀπειράγαθον ὄν, αἴτιον κακοῦ τινος γίνεσθαι· τὸ δὲ φυσικὸν λεγόμενον κακόν, οὐδὲ κακὸν κυρίως ἐστί.

## §. ΥΠΘ'.

Τοσοῦτον δὲ ἀπέχει τὸ ἀπειράγαθον ὂν τοῦ αἴτιον εἶναι κακοῦ, ὥστε οὐ μόνον ἀείποτε συνεργεῖ τῷ προαίρεσιν ἀγαθὴν ἔχοντι εἰς τὸ ἀγαθόν, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ κακοῦ ἀγαθὸν οὐ σμικρὸν προέρχεσθαι ποιεῖ.

## § ΥϞ'.

Ἕπεται δεύτερον, ὅτι ἡ τοῦ Θεοῦ πρόγνωσις, οὐδόλως ἀναιρεῖ τὸ τῶν λογικῶν ὄντων ἐλεύθερον· διότι ὡς Πάνσοφος, καὶ πάντα τὰ παρελθόντα, καὶ τὰ μέλλοντα εἰδώς, γινώσκει μὲν πάντα τὰ εἰς

ἕκαστον τῶν ὄντων ἀναφερόμενα· ὡς πανάγαθος δὲ καὶ Δίκαιος, καὶ τὸ ἐλεύθερον τοῖς λογικοῖς, καὶ ἐλευθέροις οὖσι χαρισάμενος οὐδεμίαν τῇ δωρηθείσῃ ἐλευθερίᾳ ἐπιφέρει ἀνάγκην.

## § ΥϟΑ΄.

Ἕπεται τρίτον, ὅτι τὰ λογικὰ ὄντα, τὰ δυνάμενα καὶ γινώσκειν καὶ ἀγαπᾶν τὸν ἀπειροτέλειον πάντων τῶν ἀγαθῶν δοτῆρα, καὶ πρὸς αὐτὸν καταφεύγειν καὶ κατ' αὐτὸν βιοῦν, ἀνάγκη πᾶσα καὶ ἐν γνώσει καὶ οἴκοθεν, καὶ σέβεσθαι αὐτὸν ὅση δύναμις, καὶ τιμᾶν καὶ ἀγαπᾶν, καὶ κατ' αὐτὸν διάγειν, καὶ αὐτῷ μόνῳ λατρεύειν, καὶ αὐτῷ μόνῳ ἐπαναπαύεσθαι, πρὸς αὐτὸν ἀείποτε ἀφορῶντα· οὕτω δὲ τὸν τῆς *Θεοσεβείας* ἀποπληροῦντα νόμον καὶ τὰς δυνάμεις αὐτῶν βελτιούμενα, οἷον ἔνθεα ἀληθῶς καὶ εὐδαίμονα καὶ μακάρια γενήσονται.

**Τέλος Μεταφυσικῆς.**

---

# ΗΘΙΚΗ.

## § ΥϟΒ΄.

Ὁ τῶν ὅλων ἀπειροτέλειος Δημιουργός, καὶ διὰ τῶν θείων αὐτοῦ προσόντων, καὶ διὰ τῶν ὑπ' αὐτοῦ τοῖς οὖσι δοθεισῶν δυνάμεων, τὸ θέλημα αὐτοῦ ὡς πρὸς τὰς αὐτοῦ ἐνεργείας, καὶ ἐδήλωσε καὶ ἀείποτε δηλῶν οὐ παύεται· καθ' ὃ καὶ ὑπάρχοντα, καὶ διάγοντα, εἰς τὸ οἰκεῖον καταντῶσι τέλος. Πᾶσα λοιπὸν πρᾶξις ἐν γνώσει, καὶ ἐλευθέρως ὑπὸ τῶν ἐλευθέρων ὄντων πραττομένη, σύμφωνος μὲν τῷ τοῦ ὑψίστου οὖσα θελήματι, πρακτέα· ἀσύμφωνος δὲ ὑπάρχουσα, μὴ πρακτέα ὀνομασθῆναι δύναται. Ὅθεν καὶ ἡ φιλοσοφικὴ μὲν ἐπιστήμη ἡ τὸ πρακτέον, καὶ μὴ πρακτέον θεωροῦσα, ἠθικὴ καλεῖσθαι ἔχει· ὡς μετὰ λόγου τὸν ἄνθρωπον εἰς τὸ ῥυθμίζειν τὰς ἰδίας πράξεις, ἢ τὰ ἴδια ἤθη ὁδηγοῦσα.

## § ΥϟΓ΄.

Τὸ πρακτέον καὶ μὴ πρακτέον, ὡς μὲν ἀπαιτούμενον ὑπό τινος ἢ ὑπό τινων θεωρούμενον, Δίκαιον ἢ Δικαίωμα λέγεται· ὡς δὲ προσῆκον τινι ἢ τισι λογιζόμενον, καθῆκον καλεῖται.



## § ΠϟΔ΄.

Πάντα τὰ τοῦ ἀνθρώπου δίκαια, ἢ δικαιώματα, εἰς τὰ ἑξῆς τέσσαρα ἀνάγεσθαι ἔχουσιν· εἰς δικαίωμα δηλ. ἢ δίκαιον ὑπάρξεως, δικαίωμα περιουσίας ἢ κτήσεως, δικαίωμα βελτιώσεως καὶ δικαίωμα ἐλευθερίας.

## § ΥϟΕ΄.

Καὶ δίκαιον ἢ δικαίωμα ὑπάρξεως ἐστί, καθ' ὃ παντὶ προσιδιάζει τὸ διατηρεῖν τὴν ἑαυτοῦ ὕπαρξιν, καὶ καθ' ὃ οὐδεὶς δικαίως κωλύσαι αὐτὸν δύναται, ἀπὸ τοῦ πράττειν πᾶν τὸ εἰς αὐτὸν συντεῖνον.

## § ΥϟϚ΄.

Δίκαιον δὲ περιουσίας ἢ κτήσεως, καθ' ὃ παντὶ προσιδιάζον ἐστί· τὸ ἔχειν τι πρὸς διατήρησιν τῆς ἑαυτοῦ ὑπάρξεως ἀναγκαῖον, καὶ καθ' ὃ οὐδεὶς δικαίως ἀπὸ τοῦ κεκτῆσθαι, τὰ πρὸς αὐτὴν συντείνοντα κωλύσαι αὐτὸν δύναται.

## § ΥϟΖ΄.

Δίκαιον βελτιώσεως ἐστί, καθ' ὃ παντὶ προσιδιάζον, τὸ τὰς ἑαυτοῦ βελτιοῦν δυνάμεις. καὶ καθ' ὃ οὐδεὶς ἀπὸ τοῦ τελειοποιεῖν αὐτάς, καὶ ἀναπτύσσειν, καὶ ὡς δεῖ χρῆσθαι αὐταῖς δικαίως κωλύσαι δύναται.

## § ΥϟΗ΄.

Δίκαιον τελευταῖον ἐλευθερίας ἐστί, καθ' ὃ παντὶ τὸ ἐλευθέρως καὶ φρονεῖν καὶ πράττειν προσιδιάζει, πᾶν τὸ εἰς τὰ ῥηθέντα ἀναφερόμενον δίκαια· ἀλλὰ καὶ αὐτὸν δεῖ μηδένα διὰ τῆς τοιαύτης αὐτοῦ ἐλευθερίας ἀπὸ τοῦ πράττειν τὰ αὐτῷ προσιδιάζοντα δίκαια κωλύειν.

## § ΥϟΘ΄.

Τὰ τοιαῦτα δὲ δίκαια, οὐ μόνον ὡς πρὸς ἕκαστον, ἢ ὡς πρὸς τὴν φυσικὴν αὐτοῦ κατάστασιν, ἀλλὰ καὶ ὡς πρὸς τὴν πολιτείαν καὶ ὡς πρὸς ὁποιανδήποτε ἀνθρωπίνην κοινωνίαν θεωρούμενα, τὰ αὐτὰ εὑρεθήσονται· διότι καὶ πᾶσα κοινωνία, ἵνα πρὸς τὸ ἴδιον καταντήσῃ τέλος, ἀνάγκη ἐστίν, ὅπως καὶ ὑπάρχῃ, καὶ τὰ πρὸς τὴν ὕπαρξιν αὐτῆς ἀναγκαῖα ἔχει, καὶ τὰ αὐτῆς βελτιοῖ, καὶ ἐλευθέρως τὰ εἰς αὐτὴν ἀναφερόμενα πράττειν, καὶ μηδένα ἀπὸ τοῦ πράττειν τὰ αὐτῷ προσιδιάζοντα κωλύειν· δῆλον δὲ ὅτι πάντα τὰ ἀληθῶς δί-

καια, εἰς τὸ συμφώνως τῷ τοῦ Θεοῦ θελήματι ὑπάρχειν ἀνάγεσθαι ἔχουσι.

§ Φ'.

Τὰ δίκαια, καθ' ἣν θεωροῦνται διάφορον ἀναφορὰν, διαφόρως καὶ ἐπονομάζεσθαι δύνανται· οὕτω λέγεται, δίκαιον φυσικὸν, θετικὸν, γραπτὸν, ἢ ἄγραφον· δίκαιον συνθήκης, δίκαιον κοινωνικὸν, πολιτικὸν, ἐθνικὸν, δίκαιον κυβερνήσεως, κυβερνωμένων, κτλ. δίκαιον Ἑλληνικὸν, Ῥωμαϊκὸν, Γαλλικὸν.

§ ΦΑ'.

Καὶ φυσικόν μὲν δίκαιον καλεῖται τὸ ὑπ' αὐτῆς τῆς φύσεως διοριζόμενον· θετικόν τὸ ὑπὸ νόμου τινὸς ἐπιτρεπόμενον· συνθήκης, τὸ διὰ συνθήκης τινὸς ἐκτιθέμενον· κοινωνίας τὸ εἰς κοινωνίαν ἀναφερόμενον· πολιτικόν, τὸ εἰς τὰ μέλη πολιτείας τινὸς διδόμενον· δίκαιον ἐθνικόν, τὸ μεταξὺ διαφόρων ἐθνῶν θεωρούμενον.

§ ΦΒ'.

Δίκαια τῆς κυβερνήσεως λέγονται, τὰ εἰς αὐτὴν προσδιάζοντα· κατὰ δὲ τὴν διαφορὰν τῆς κυβερνήσεως διάφορα εἰσὶ καὶ τὰ τῶν κυβερνωμένων δίκαια· ὡσαύτως καὶ τὸ πολιτικὸν δίκαιον, διάφορον κατὰ τὴν διαφορὰν τῆς πολιτείας εὑρίσκεται· δίκαιον δὲ ἐμπορικόν, δίκαιον διαφόρων ἐπιτηδευμάτων ἐστί, τὸ εἰς τὸ ἐμπόριον, καὶ τὰ διάφορα ἀναφερόμενον ἐπιτηδεύματα.

§ ΦΓ'.

Δίκαια Γάμου ὀνομάζονται, τὰ εἰς τὸν δεσμὸν τοῦ γάμου ἀναφερόμενα ὡς ἡ τῶν συζύγων ἠθική, ἰσότης κτλ. δίκαια δὲ γονέων, καὶ τέκνων, τὰ εἰς αὐτοὺς προσιδιάζοντα.

§ ΦΔ'.

Δίκαια Κυρίων καὶ Θεραπόντων, τὰ εἰς αὐτοὺς ἀναφερόμενα.

§ ΦΕ'.

Δίκαιον Ἑλληνικόν, Ῥωμαϊκόν, Γαλλικὸν κτλ. προσαγορεύονται, τὰ εἰς τοιαῦτα ἔθνη προσιδιάζοντα θετικὰ δίκαια.

§ ΦϚ'.

Δίκαιον δὲ θεῖον, κανονικόν, ἐκκλησιαστικὸν ὀνομάζεται, τὸ εἰς τὴν θρησκείαν, καὶ τοὺς λειτουργοὺς αὐτῆς, καὶ τὰ διάφορα τούτων



συστήματα ἀναφερόμενον· δῆλον δέ, ὅτι πάντα τὰ τοιαῦτα δίκαια, τότε μόνον ἀληθῆ εἰσι δίκαια, ὅταν σύμφωνα τοῖς δικαίοις τῆς ὑπάρξεως τῆς κτήσεως, τῆς βελτιώσεως, καὶ τῆς ἐλευθερίας ὑπάρχωσιν· ἄλλως δέ, λεγόμενα μόνον ἔσονται δίκαια.

§ ΦΖ'.

– Ἐκ τῶν δικαιωμάτων τούτων, καὶ τὰ διάφορα προέρχονται καθήκοντα, διότι, ὅπου ὑπάρχει δίκαιον, ἐκεῖ καὶ καθῆκον ὑπάρχει· καὶ διότι πρὸς ἐκτέλεσιν τῶν ἀληθινῶν δικαίων, ἀνάγκη, οὐ μόνον ἵνα μὴ κωλύῃ τις τὸν ἔχοντα τὰ τοιαῦτα δίκαια, ἀλλ' ἵνα καὶ συνεργῇ αὐτῷ, ὅπως ἀπολαμβάνῃ τὰ εἰς αὐτὸν προσιδιάζοντα.

§ ΦΗ'.

Ἐκ τῶν αὐτῶν δικαιωμάτων, καὶ ἐκ τῶν καθηκόντων καὶ οἱ διάφοροι προκύπτουσι νόμοι· καθότι νόμοι πολιτικοί εἰσι σχέσεις, ἢ μελῶν πρὸς μέλη ὁποιασδήποτε κοινωνίας, καὶ οὗτοι εἰς τὰ δικαιώματα καὶ καθήκοντα τῶν μερικῶν ἀναφέρονται, ἢ τῶν μελῶν πρὸς τὴν ὅλην κοινωνίαν, καὶ οὗτοι εἰς τὰ δικαιώματα καὶ καθήκοντα ἐπιστηρίζονται τῆς κοινωνίας ὑπὸ τῶν κυβερνώντων παρισταμένης ἢ εἰς κοινωνίας πρὸς ἑτέραν κοινωνίαν καὶ οὗτοι ἐκ τῶν ἐθνικῶν δικαιωμάτων καὶ καθηκόντων πηγάζουσι· νόμοι δὲ λέγονται προσέτι καὶ αἱ τῶν τοιούτων σχέσεων ἐκθέσεις· δῆλον δὲ, ὅτι πᾶς νόμος τοῖς γενικοῖς δικαιώμασι καὶ καθήκοσι τοῦ ἀνθρώπου ἀντιβαίνων λεγόμενος μόνον νόμος ἐστί.

§ ΦΘ'.

Ἡ περὶ τῶν δικαίων γενικωτέρα θεωρία, δικαιογνωσία κληθῆναι δύναται· ἡ δὲ τοὺς διαφόρους νόμους ἀντικείμενον ἔχουσα, νομικὴ ὀνομάζεται· κυρίως δὲ ἠθικὴ ἐστιν ἡ περὶ τῶν καθηκόντων τοῦ ἀνθρώπου διαλαμβάνουσα πραγματεία.

**Καθήκοντα.**

§ ΦΙ'.

Καθῆκον ἐστιν, ὅ,τι ἑκάστῳ ἀνήκει πράττειν πρὸς τὸ συμφώνως τῷ τοῦ Θεοῦ θελήματι διάγειν, ἢ πρὸς τὴν καθ' ὁμοίωσιν τοῦ Θεοῦ διαβίωσιν τὴν τὰς θείας αὐτοῦ τελειότητας ὡς ἀσφαλῆ καὶ ἀδιάπτωτον ἔχουσαν γνώμονα.

## § ΦΙΑ'.

Ἀρετὴ δέ ἐστιν, ἕξις τοῦ συμφώνως τῷ τοῦ Θεοῦ θελήματι διαβιοῦν, ἢ τοῦ καθ' ὁμοίωσιν αὐτοῦ ζῆν, ἢ ἕξις τοῦ ἐνεργεῖν τὸ τοῦ Θεοῦ τέλειον ὡς γνώμονα ἔχουσα, καὶ εἰς αὐτὸν μόνον ἀποβλέπουσα· καὶ κακία ἡ ἐναντία τῇ ἀρετῇ πρᾶξις· ἀρετὴ προσέτι μερικώτερον λέγεται καὶ ἡ τῶν δικαιωμάτων καταφρόνησις πρὸς τὴν τῶν καθηκόντων ἐκπλήρωσιν, καὶ ἐνάρετος μέν ἐστιν ὁ τῇ ἀρετῇ συζῶν, κακὸς δὲ ὁ τῇ κακίᾳ ὁδεύων.

## § ΦΙΒ'.

Συνείδησις ἀληθής ἐστιν, ὡς πρὸς τὴν ἀρετὴν ἢ κακίαν ἡ ἀναφερομένη ἕξις τοῦ συνειδητικοῦ, καθ' ἣν γινώσκει καλῶς τὴν καθ' ὁμοίωσιν τοῦ Θεοῦ διαβίωσιν, καὶ πρὸς ταύτην κρίνει καὶ κατακρίνει, ἢ δικαιοῖ τὰς πράξεις, καὶ χαίρει μὲν ἐπὶ τῇ συμφώνῳ τῷ τοῦ Θεοῦ θελήματι διαβιώσει· λυπεῖται δὲ ἐπὶ ταῖς ἐναντίαις ταύτῃ πράξεσι.

## § ΦΙΓ'.

Εἰ καὶ πολλαὶ καὶ διάφοροι ἀριθμοῦνται ἀρεταί· οἷον φρόνησις, σωφροσύνη, δικαιοσύνη, ἀνδρία κτλ., ἀλλ' αἱ ἀρεταὶ αὗται, τότε μόνον κυρίως εἰσὶν ἀρεταί, ὅταν ἐκ τῆς ἀληθινῆς προέρχονται ἀρετῆς τῆς τὴν καθ' ὁμοίωσιν τοῦ Θεοῦ διαβίωσιν ἀντικείμενον ἐχούσης, καὶ πρὸς αὐτὸν μόνον ἀποβλεπούσης· ἀλλὰ καὶ ταύτης ἀρχὴ καὶ οἷον ψυχὴ καὶ πνεῦμα, καὶ ζωὴ ἡ τοῦ ἀπειροτελείου ὄντος ἐστὶν ἀγάπη, ἢ τὸ πρὸς αὐτὸν ὀφειλόμενον σέβας, διότι ἄνευ ταύτης, πᾶσα ἠθικὴ πρᾶξις οἷον ἄψυχος καὶ ἄλογός ἐστι, καὶ οὐδὲ ἀμετάβλητος, οὐδὲ ἀΐδιος, οὐδὲ ταῖς τοῦ ἀνθρώπου δυνάμεσι σύμφωνος.

## § ΦΙΔ'.

Τὰ καθήκοντα θετικὰ ἢ καταφατικὰ ὀνομάζονται, εἰς τὰ πρακτέα ἀναφερόμενα· ἀποθετικὰ δὲ ἢ ἀποφατικὰ καλοῦνται, ὡς πρὸς τὰ μὴ πρακτέα θεωρούμενα.

## § ΦΙΕ'.

Πάντα τὰ τοῦ ἀνθρώπου καθήκοντα εἰς τρία τινὰ ἀνάγεσθαι ἔχουσιν· εἰς τὰ πρὸς ἑαυτὴν δηλ. εἰς τὰ πρὸς τὰ λοιπὰ κτίσματα, καὶ ἐξαιρέτως τὰ πρὸς τὸν ἄνθρωπον, καὶ εἰς τὰ πρὸς τὸν Θεόν· ἀλλὰ καὶ ταῦτα ὡς καὶ πᾶσα ἀληθῶς ἐνάρετος πρᾶξις ἀπὸ μιᾶς τινος



προέρχονται ἀρχῆς, ἀπὸ τῆς ἱερᾶς δηλ. ἀγάπης καὶ ἀρετῆς, καὶ μάλιστα τῆς τὸ ὑπέρτατον καὶ ἀπειροτέλειον ὂν ἀντικείμενον ἐχούσης, καὶ ὑπ' αὐτῆς μόνης οἷον ἔμψυχα καὶ ζῶντα καὶ ἐνεργὰ ἀληθῶς γίνονται, καὶ συμφώνως ταῖς τοῦ ἀνθρώπου δυνάμεσι, καὶ τῷ τέλει δι' ὃ ἐπλάσθη ἐκτελοῦνται.

## § ΦΙϚ'.

Ὅθεν καὶ πάντα τὰ τοῦ ἀνθρώπου καθήκοντα, εἰς μόνην τὴν κατὰ Θεὸν καὶ διὰ τὸν Θεὸν ἀγάπην ἀνάγειν δυνατόν, ἀγάπην δηλ· τὴν ἑαυτοῦ, τὴν τῶν λοιπῶν ἀνθρώπων, καὶ ἀγάπην τοῦ ἀπειροτελείου τῶν ὅλων Δημιουργοῦ.

## § ΦΙΖ'.

Καὶ διὰ μὲν τὴν πρώτην, ὑποχρεοῦται ὁ ἄνθρωπος εἰς τὸ διατεθεῖσθαι πάντοτε, καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχὴν οὕτω πως, δύνασθαι ὀρθῶς χρῆσθαι ταῖς ἑαυτοῦ δυνάμεσιν. Ὅθεν καὶ τὸ μέρος τοῦτο τῆς ἠθικῆς τὸ εἰς τὴν ἀγάπην αὐτοῦ ἀναφερόμενον εἰς δύο τινὰ ὑποδιαιρεῖται· καὶ τὸ μέν, τὸ σῶμα ἀποβλέπων, ὑποχρεοῖ τὸν ἄνθρωπον εἰς τὴν τακτικὴν ἐνέργειαν τῶν σωματικῶν αὐτοῦ δυνάμεων, εἰς τὸ διατηρεῖν δηλ. τὸ αὐτοῦ σῶμα οὕτω πως, ὥστε ἐπιτήδειον εἶναι καὶ εἰς τὸ δι' αὐτοῦ τὴν ψυχὴν ὀρθῶς ἐνεργεῖν δύνασθαι· τὸ δὲ τὴν ψυχήν, ὑποχρεοῖ τὸν ἄνθρωπον εἰς τὸ τελειοποιεῖν τὰς ψυχικὰς αὐτοῦ δυνάμεις, εἰς τὸ διευθύνειν δηλ. τὰς μὲν γνωστικὰς εἰς τὴν ἀλήθειαν, τὰς δὲ βουλητικὰς εἰς τὴν ἀγάπην τῆς ἀρετῆς· τὰς δὲ ἐκτικὰς εἰς τὴν ἕξειν τοῦ ἐνεργεῖν συμφώνως καὶ τῇ ἀληθείᾳ καὶ τῇ ἀρετῇ, εἴτε συμφώνως τῷ τοῦ Θεοῦ θελήματι.

## § ΦΙΗ'.

Καθῆκον λοιπὸν τοῦ ἀνθρώπου ἐστὶν ὡς πρὸς τὸ σῶμα ἀναφερόμενον τὸ διατηρεῖν τὴν ἑαυτοῦ ὑγείαν, καὶ τὸ τελειοποιεῖν τὰς αὐτοῦ δυνάμεις, διὰ τῶν ὀρθῶν καὶ ὠφελίμων ἕξεων· διότι χωρὶς αὐτῶν οὐδὲ ἐπιτήδειον εἰς τὸ δι' αὐτοῦ τὴν ψυχὴν ἐνεργεῖν ἔσεται· ὡς πρὸς τὴν ψυχὴν δὲ καθῆκον αὐτοῦ ἐστὶ τὸ μανθάνειν τὴν ἀλήθειαν καὶ ἀσκεῖν τὴν ἀρετήν, σοφὸν καὶ ἐνάρετον ἀληθῶς κατὰ Θεὸν γινόμενον. Ἀρεταὶ δὲ μερικώτεραι αἱ εἰς τοῦτο τὸν ἄνθρωπον ἄγουσαι, καὶ ὡς πρὸς αὐτὸν μόνον ἀναφερόμεναι εἰσίν, ἐν γένει μὲν ἡ **Θεοσέβεια**, μερικώτερον δὲ ἡ ἐγκράτεια, ἡ σωφροσύνη, ἡ καθαριότης, ἡ νηφαλιότης, ἡ εὐπονία, ἡ μεταμέλεια, ἡ μετάνοια, ἡ ταπεινοφροσύνη, ἡ περὶ τῆς ἀϊδίου αὐτοῦ καταστάσεως φροντίς, ἡ προσευχή.

ΙΟΘΗΚΗ

## § ΦΙΘ'.

Διὰ δὲ τὴν πρὸς τοὺς λοιποὺς κατὰ Θεόν, καὶ διὰ τὸν Θεὸν ἀγάπην, ὑποχρεοῦται ὁ ἄνθρωπος εἰς τὴν μερικωτέραν δικαιοσύνην, καὶ εἰς τὴν φιλανθρωπίαν· ὅθεν καὶ καθῆκον εἰς τὸ λογικὸν τοῦτο ὄν, ὡς πρὸς τὸν πλησίον αὐτοῦ ἀναφερόμενον ἐστίν, οὐ μόνον τὸ ἀποδοῦναι ἑκάστῳ ὅ,τι δήποτε αὐτῷ ἀνήκει, τὸ μὴ κωλύειν δηλ. αὐτὸν ἀπὸ τῆς ἐκπληρώσεως τῶν ἰδίων αὐτοῦ δικαιωμάτων, ἀλλὰ καὶ τὸ συνεργεῖν εἰς τὴν αὐτοῦ εὐδαιμονίαν διὰ τῆς εὐεργεσίας.

## § ΦΚ'.

Καθῆκον λοιπὸν γενικὸν εἰς πάντα ἄνθρωπον, ὡς πρὸς τοὺς λοιποὺς ἀνῆκον ἐστίν, οὐ μόνον μηδένα ἀδικεῖν, οὐδὲ προσωπικῶς οὐδὲ κατὰ τὴν τιμήν, οὐδὲ κατὰ τὴν περιουσίαν, οὐδὲ κατὰ τὴν ἐλευθερίαν, ἀλλὰ πάντας καὶ αὐτοὺς τοὺς ἐχθροὺς καὶ σωματικῶς καὶ ψυχικῶς κατὰ δύναμιν εὐεργετεῖν, εἰρηνεύειν τε μετὰ πάντων ἀγαθὴν ἔχοντα συνείδησιν.

## § ΦΚΑ'.

Καθῆκον δὲ μερικώτερον φίλων ἐστίν, ἀλλήλους ἀδόλως καὶ εἰλικρινῶς κατὰ Θεὸν φιλεῖν, ἀλλήλων τε ἀνέχεσθαι, καὶ τὰ ἀλλήλων διορθοῦν ἐλαττώματα· ἐὰν δέ ποτε δυσαρεσκείας παραπέσῃ ἀφορμὴ ταχέως πρὸς ἀλλήλους διαλάττεσθαι.

## § ΦΚΒ'.

Συζύγων δὲ καθῆκον ἱερὸν ἐστι, πιστοὺς πρὸς ἀλλήλους εἶναι καὶ ἀλλήλους ἐν πᾶσι βοηθεῖν· γονέων δὲ τὸ καλῶς ἄγειν τὰ ἑαυτῶν τέκνα περί τε τῆς σωματικῆς καὶ ψυχικῆς καὶ ἠθικῆς ἀγωγῆς αὐτῶν φροντίζοντας, τὸν μὲν νοῦν διὰ τῆς ἀληθείας φωτίζοντας, τὴν δὲ καρδίαν πρὸς τὴν ἀρετὴν διαλλάσσοντας, καὶ τὰς ἕξεις πρὸς τὸ ἀγαθὸν διαμορφοῦντας· τοῦτο δὲ κατορθωθήσεται, ἐὰν κατ' ἀλήθειαν τὰ τέκνα αὐτῶν νηπιόθεν θρησκευτικῶς ἀρχθῶσι.

## § ΦΚΓ'.

Ἐκ τοῦ ἐναντίου, τὰ τέκνα ὀφείλουσιν εὐπειθῆ εἶναι πρὸς τοὺς γονεῖς, τιμᾷν τε αὐτούς, καὶ εὐγνώμονα πρὸς αὐτοὺς εἶναι μεμνημένα, οἷα μὲν ὑπέστησαν ἐκεῖνοι ὑπὲρ αὐτῶν, οἵων δὲ αὐτὰ δι' ἐκείνους ἀπήλαυσαν ἀγαθῶν, εὐγνωμοσύνην ὡσαύτως, καὶ οἱ εὐ παθόντες πρὸς τοὺς εὐεργέτας αὐτῶν ὀφείλουσιν, καὶ τοῖς νεωτέροις δὲ καθῆκον ἐστὶ τοὺς τὴν ἡλικίαν προβεβηκότας ὡς ἄλλους γονέας τιμᾷν.



## § ΦΚΔ'.

Τοῖς τε ἀδελφοῖς καθῆκον ἐστιν, ἀλλήλους εἰλικρινῶς καὶ ἀδόλως ἀγαπᾷν, καὶ εὐνους, καὶ σύμπνους, καὶ συμφώνους εἶναι ἀλλήλους βοηθοῦντας, καὶ μηδὲν τῆς πρὸς ἀλλήλους κατὰ Θεὸν ἀδελφικῆς ἀγάπης προτιμῶντας.

## § ΦΚΕ'.

Οἱ δὲ πολῖται, ὡς καὶ πάσης κατὰ Θεὸν κοινωνίας τὰ μέλη, ὀφείλουσιν εὐπείθειαν εἰς τοὺς νόμους τῆς πολιτείας ἢ τῆς κοινωνίας καὶ πραγματικὴν αὐτὴν καὶ ἀλλήλοις βοήθειαν παντοίως, καὶ διὰ λόγου καὶ διὰ ἔργου τὸ πρὸς αὐτὴν καὶ πρὸς ἀλλήλους ἀποπληροῦντες καθῆκον· καὶ κατὰ Θεὸν αὐτὴν καὶ ἀλλήλους βοηθοῦντες.

## § ΦΚϚ'.

Ἀρεταὶ δὲ, πρὸς ἐκπλήρωσιν τῶν πρὸς τοὺς λοιποὺς καθηκόντων συντείνουσαι πρὸς ταῖς ῥηθείσαις, εἰσὶ καὶ ἡ δικαιοσύνη, ἡ ἀγαθότης, ἡ φιλανθρωπία, ἡ γενναιότης, ἡ μακροθυμία, ἡ ἀφιλοκέρδεια ἡ εἰλικρίνεια, τὸ φιλόπατρι, τὸ φιλόκοινον, ἡ ἀγαθοποιΐα· κακίαι δὲ ταύταις καὶ ταῖς ἀνωτέρω ἐναντίαι ὑπάρχουσι δυσέβειαι, ἀκρασία, ἡ φιληδονία, ἀμέλεια, δειλία, μικροψυχία, ὑπερηφάνεια, ἀκηδία, μῆνις, ἀφροσύνη, φιλοδοξία, ἀδικία, μῖσος, φθόνος, φιλαργυρία, ἀπάτη, ἰδιοτέλεια, κακοποιΐα.

## § ΦΚΖ'.

Διὰ τὴν τρίτην τελευταῖον τὴν πρὸς τὸν Θεὸν ἀναφερομένην, ὑποχρεοῦται ὁ ἄνθρωπος ἵνα κατευθύνῃ τὰς ψυχικὰς καὶ σωματικὰς αὐτοῦ δυνάμεις πρὸς τὸ ἀπειροτέλειον ὄν, τουτέστιν ἵνα εἰδὼς λατρεύῃ αὐτό· ἐκ τούτου δὲ, ἐξάγονται τὰ καθήκοντα τῆς θρησκείας ἐν γένει, ἅπερ εἰς δύο διαιρεθῆναι δύνανται, εἰς ἐσωτερικὰ δηλ. καὶ ἐξωτερικά· καὶ εἰς μὲν τὰ πρῶτα ἀνάγονται ἡ πίστις, ἐλπίς, ἡ ἀγάπη κτλ. εἰς δὲ τὰ δεύτερα ἀναφέρονται ἡ ὁμολογία τοῦ ὑψίστου ὄντος, καὶ ἐν γένει πᾶσαι αἱ φαινόμεναι ἱεραὶ πράξεις· διὸ αἱ ἐσωτερικαὶ τοῦ ἀνθρώπου φανεροῦνται διαθέσεις, ὡς πρὸς τὸν Θεὸν ἀναφερόμεναι, δῆλον δὲ, ὅτι τὰς πράξεις ταύτας πρῶτον συμφώνους εἶναι δεῖ τῷ λόγῳ, τῇ ἀληθείᾳ καὶ ἀρετῇ, ἢ τῷ παναγίῳ τοῦ ὑψίστου ὄντος θελήματι· δεύτερον ἐκ τῶν ἐσωτερικῶν τῷ ὄντι προέρχεσθαι διαθέσεων· διότι ἄλλως οὐ μόνον μάταιοι ἔσονται, ἀλλὰ καὶ πρόξενοι μεγάλης κατακρίσεως τῷ προσποιουμένῳ γενήσονται.

## § ΦΚΗ΄.

Ἔργα δὲ τῇ τοῦ Θεοῦ λατρείᾳ σύμφωνα ἔσονται, τὸ συμφώνως τῷ λόγῳ, τῇ ἀληθείᾳ, καὶ ἀρετῇ, τῷ τοῦ Θεοῦ θελήματι διαβιοῦν, ἢ **Θεοσεβῶς ζῆν**, προθύμως τὰ πρὸς ἑαυτούς, τὰ πρὸς τοὺς λοιπούς, καὶ τὰ πρὸς τὸν Θεὸν ἐκπληροῦντας καθήκοντα, αὐτόν τε ἀληθῶς σεβομένους, καὶ τιμῶντας, καὶ ἀγαπῶντας, καὶ πρὸς αὐτὸν εὐγνωμονοῦντας, καὶ εἰς αὐτὸν καταφεύγοντας, καὶ αὐτὸν φοβουμένους, φόβον τῷόντι καὶ δικαιότατον, καὶ εὐλογώτατον· διότι οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰμὴ αὐτὸς ὁ Θεός, καὶ αὐτὸς μόνος κρίνειν δύναται, τιμωρεῖν τε δικαίως κακὸν καὶ ἀμετανόητον ὑπάρχοντα, καὶ βραβεύειν αὐτὸν ἀγαθὸν ὄντα.

## §. ΦΚΘ΄.

Δεύτερον μὴ μόνον ἀγογγύστως, ἀλλὰ καὶ εὐχαρίστως ὑπομένειν τὰ ἡμῖν συμβαίνοντα δεινά· εἰδότας ὅτι ὁ πανάγαθος τῶν ὅλων Δημιουργός, οὐδὲ ἐπαύσατο, οὐδὲ παύεται καὶ περὶ ἡμῶν προνοῶν· καὶ πεπεισμένους, ὅτι συμφέροντα ταῦτα ἡμῖν μάλιστα ἔσονται.

## § ΦΛ΄.

Τρίτον· εἰς αὐτὸν διὰ τῆς προσευχῆς ἀποτείνεσθαι, καὶ νοῦν, καὶ προαίρεσιν εἰς αὐτὸν ἀνυψοῦντας, καὶ αὐτῷ κοινοποιοῦντας, τά τε θαυμάσια καὶ ἐξαίσια ἔργα αὐτοῦ, εἰς νοῦν φέροντας, καὶ τὰς θείας αὐτοῦ ἀπειροτελείους τελειότητας ἐννοοῦντας, ὡς ἀπειροτέλειον, καὶ ὑμνεῖν, καὶ δοξάζειν, καὶ ὡς ἀπειροτελείῳ εὐεργέτῃ χάριτας ὁμολογεῖν.

## §ΦΛΑ΄.

Τὸ δὲ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως, καὶ τὸ ἀτελὲς αὐτῆς εἰδότας, μετανοεῖν τε ἐπὶ τοῖς κακῶς πεπραγμένοις, τὸ Θεῖόν τε ἐπικαλεῖσθαι ἔλεος καὶ τὴν Θείαν ἀντίληψιν, καὶ πρὸς γνῶσιν τοῦ ἀληθοῦς, καὶ πρὸς ἐκτέλεσιν τοῦ ἀγαθοῦ.

## § ΦΛΒ΄.

Τάς τε ἀνάγκας εἰς τὸ ἀνθρώπινον ὅτι ὑπόκεινται κατανοοῦντας, περὶ πάντων καὶ ὑπὲρ πάντων τὸν Θεὸν καθικετεύειν, συμφώνως ταῖς τοῦ ἀνθρώπου πράττοντας δυνάμεσι.

## § ΦΛΓ΄.

Ἑαυτούς τε τῷ μόνῳ κυρίως καὶ ἀληθῶς ὄντι καὶ μόνῳ σοφῷ καὶ ἀγαθῷ, καὶ δυνατῷ ἀφοσιοῦν· αὐτῷ οἰκειουμένους καὶ ἑνουμένου διὰ τῆς ἱερᾶς ταύτας ἐντεύξεως· ὡς μόνος, καὶ βελτιοῦν ἡμᾶς τὴν